ἠφάνισε πρόσωπον, οὐ μόνον πλήσασα φάραγγας ἀλλὰ καὶ
hid face not only having-filled ravines but also
θύρας οἰκημάτων ἐπιζυγώσασα, ὑπερέθετο τὸ ἔργον εἰς
(the)-doors of-houses having-barred he-postponed the work to
ἀνάφανσιν ἔαρος, καὶ δὴ τὴν μὲν στρατιὰν αὐλίζεσθαι
(the)-appearing of-spring and indeed the indeed army to-winter
διαφῆκε κατὰ τὴν ἐκεῖθι ἐπαρχίαν, αὐτὸς δ' εὔζωνος τὴν
he-let in the there province himself and light-armed the
βασιλίδα καταλαβὼν διεχεῖτο ἵπποων ἁμίλλαις καὶ θεωρείοις
queen(-city) having-reached relaxed with-horse contests and with-spectacles
ἐγάννυτο. ἅμα δ' ἦρι φανέντι ἔξεισιν αὖθις καὶ μέτεισι
delighted at-once and spring having-appeared goes-out again and pursues
τοὺς Μυσούς. ὅλους οὖν μῆνας τρεῖς ἐξηνυκώς, καὶ περὶ
the Mysians whole then months three having-spent and about
τὴν τοῦ φρουρίου κατάσχεσιν ὃ Λοβιτζὸς ἐπικέκληται
the of-the fort holding which Lobitzos is-surnamed
πλεῖστα πεπονηκώς, ἀτελὲς τὸ ἐγχείρημα καὶ πάλιν
very-much having-toiled unaccomplished the undertaking also again
ἀπολιπὼν ἐκεῖθεν μεθίσταται καὶ τὴν βασιλίδα τῶν πόλεων
having-left thence moves and the queen of-the cities
εἴσεισιν· αἱ γὰρ τῆς Προποντίδος χάριτες καὶ τὰ ἐπιτερπῆ
enters the for of-the Propontis charms and the delightful

κατ᾽ αὐτὴν σκηνώματα τά τε κυνηγέσια καὶ ἱππάσια,
in it pavilions the both hunts and horse-drives
ἁλυσιδοῦντα οἷον τοὺς ἐς ἡμᾶς αὐτοκράτορας, οὐκ
chaining as-it-were the down-to us autocrats not
εἴων ἐπὶ μακρὸν θυραυλεῖν, ἀλλ᾽ ὡς ῥιψάσπιδας γινομένους
allowed for long to-camp-out but as shield-throwers becoming
ἔπειθον αὐτομολεῖν εἰς αὐτά. τότε δὲ καὶ τὴν τοῦ
persuaded(-them) to-desert to them then and also the —
Ἀσὰν γυναῖκα κατέσχεν ὁ βασιλεύς, καὶ τὸν ἀδελφὸν
of-Asan wife held the emperor and the brother
αὐτοῦ θάτερον τὸν Ἰωάννην εἰς ὅμηρον εἴληφεν. ἀλλὰ
his the-other — John as hostage took but
καὶ οὕτως ἐπὶ τὰ χείρω τὰ πράγματα προύβαινε.
also thus to the worse the affairs advanced

II · MANKAPHAS

Theodore Mankaphas seizes Philadelphia, takes the name of emperor, and strikes silver coin with his own image. Isaac besieges the city in vain and makes terms: Mankaphas lays down the insignia, and hostages are given. Basil Vatatzes, husband of the emperor's cousin and domestic of the east, bribes Mankaphas' men and drives him out. Mankaphas flees to the sultan Kaichosroes, recruits Turks, and plunders Laodikeia, Phrygia, Choniates' own Chonai, and Caria, burning the church of the archangel Michael at Chonai, a work rivaling Saint Mokios'. Isaac pays the sultan, who hands Mankaphas over on condition that he not be killed or maimed, and he is imprisoned; the sultan's brothers resent the betrayal.

Κατὰ δὲ τὸν καιρὸν τοῦτον τυραννίδι ἐπικεχείρηκεν ὁ
at and the time this tyranny attempted the
Φιλαδελφεὺς Θεόδωρος ὁ Μαγκαφᾶς. καὶ τὰ μὲν
Philadelphian Theodore the Mankaphas and the(-things) indeed
πρῶτα τὸ τῆς πόλεως ταύτης ἀγελαῖον, πολυανδρούμενον
first the of-the city this herd-like(-crowd) populous

ὂν θρασύ τε καὶ ἀναιδέστατον, ἑαυτῷ προσῳκείωσε, καὶ
being bold both and most-shameless to-himself attached and
ὅρκοις τὴν εἰς αὐτὸν πίστιν κατενεπέδωσεν· ὁδῷ
with-oaths the toward him faith confirmed on-(the)-road
δὲ προϊὼν καὶ βασιλείας ἑαυτῷ περιέθηκεν ὄνομα, τοὺς
and going-forward also of-empire on-himself put (the)-name the
Λυδοὺς πάντας εἰς ἀποστασίαν ἐπισπασάμενος· ἔπειτα δὲ
Lydians all into revolt having-drawn then and
καὶ τῶν ἀγχούρων ἀποπειρᾶται χωρῶν, καὶ ἀργύρεον
also of-the neighboring tries lands and silver
κέκοφε νόμισμα τὴν οἰκείαν ἐγχαράξας ἐν αὐτῷ στήλην.
struck coin the own having-engraved on it image
ὡς δὲ προὔκοπτε τὰ τῆς ἀποστασίας καὶ ὁ ἐπὶ
as and advanced the(-things) of-the revolt and the at
τοῖς δρωμένοις πρότερον γέλως εἰς πληγὴν γενναίαν
the(-things) done before laughter into (a)-blow noble
μεθίστατο πρὸς ἧπαρ χωροῦσαν τοῦ βασιλέως, μὴ
changed to (the)-liver going of-the emperor not
μέλλειν οὗτος ἐγνώκει ἀλλὰ κατ᾽ αὐτοῦ τὰ ὅπλα διφᾶν.
to-delay this(-man) had-resolved but against him the arms to-seek
καὶ δὴ κατὰ τὴν Φιλαδέλφειαν γεγονὼς ἔμφρουρον αὐτῇ
and indeed at — Philadelphia having-come shut-up in-it
τὸν Μαγκαφᾶν εἰργάσατο, ὃς καὶ τὴν τοῦ Μωροθεοδώρου
— Mankaphas made who also the — of-Morotheodoros
προσωνυμίαν ἐκτήσατο τῶν κατὰ σκοπὸν ἐκείνῳ
nickname acquired of-the(-things) to (his)-aim for-him
διαπεσόντων ἐσέπειτα. καὶ ἱκανὸν χρόνον τῇ πολιορκίᾳ
having-failed afterward and sufficient time at-the siege
ἐγκαρτερήσας οὐκ ἴσχυσε τοὺς Φιλαδελφεῖς παραστήσασθαι·
having-persevered not was-able the Philadelphians to-subdue
ὅθεν πρὸς ὁμολογίαν καὶ συμβάσεις ἐτράπετο, ὥστε τὸν
whence to agreement and terms turned so-that —

μὲν Θεόδωρον τὰ τῆς βασιλείας ἀποθέσθαι παράσημα
indeed Theodore the(-things) of-the empire to-lay-down insignia
καὶ καθ' ἑαυτὸν ὡς πρότερον πολιτεύεσθαι, τὸ δὲ τῆς
and by himself as before to-live-as-a-citizen the and of-the
πόλεως ἐκείνης πλήρωμα βασιλεύεσθαι πάλιν ὑφ' οὗ
city that fullness to-be-ruled again by whom
πρότερον ἐβασιλεύετο. καὶ ὅμηρα ἐκεῖθεν δεξάμενος ὧν
before it-was-ruled and hostages thence having-received of-whom
ἡρεῖτο τοὺς παῖδας ἐπανέζευξεν εἰς τὴν μεγαλόπολιν.
he-chose the children returned to the great-city
οὐκ ὀλίγοι δὲ κἀν τῇ ἐπαναστάσει ταύτῃ ἀγαθοὶ καὶ
not few and also-in the uprising this good and
γενναῖοι ἄνδρες ἀπώλοντο. μετ' οὐ πολὺ δὲ καὶ Βασίλειος
noble men perished after not much and also Basil
ὁ Βατάτζης γένους μὲν ἀσήμου βλαστών, διὰ δὲ
the Vatatzes of-race indeed obscure sprung because-of and
τὸ εἰς γυναῖκά οἱ γαμετὴν συναφθῆναι τὴν τοῦ
the to (a)-wife for-him (as)-spouse to-be-joined the of-the
βασιλέως πρὸς πατρὸς ἐξανεψιὰν δομέστικος τῆς
emperor on (the)-father's(-side) cousin domestic of-the
ἀνατολῆς τιμηθεὶς καὶ τὴν δουκικὴν ἀρχὴν τῶν Θρᾳκησίων
east honored and the ducal office of-the Thrakesians
ἀναζωσάμενος, χρήμασιν ὑπέφθειρε πλείστους τῶν τοῦ
having-girded-on with-money corrupted very-many of-the —
Μαγκαφᾶ ὁμοτῶν, καὶ αὐτὸν μὲν οὐκ ἔσχε συλλαβεῖν
of-Mankaphas sworn-men and him indeed not was-able to-seize
καὶ δεσμοῖς περιβαλεῖν, τῆς δὲ πόλεως Φιλαδελφείας
and with-bonds to-surround from-the and city Philadelphia
ἐξώσας ἔδοξε καὶ οὕτω μέγα τι κατωρθωκέναι
having-driven-out(-him) seemed also thus great something to-have-achieved
καὶ ἀσπάσιον ἔργον τῷ βασιλεῖ. ἀλλ' οὗτος τῷ τοῦ
and welcome deed to-the emperor but this(-man) to-the —

Ἰκονίου σουλτὰν προσρυείς, ᾧ ἡ κλῆσις Καϊχοσρόης,
of-Ikonion sultan having-fled-for-refuge whose the name Kaichosroes
συμμαχικὸν μὲν αἰτήσας κατὰ Ῥωμαίων οὐκ ἔλαβεν,
allied(-force) indeed having-asked against (the)-Romans not received
ἐνεδόθη δέ οἱ προσλαμβάνεσθαι ἀνεπεγκλήτως ὁπόσοι
was-allowed and to-him to-take-on blamelessly as-many-as
τῶν Τούρκων κερδαλεόφρονες κἀπὶ τῷ γωρυτῷ καὶ τῷ
of-the Turks gain-minded and-on the quiver and the
τόξῳ τὴν πεποίθησιν ἔχοντες Ῥωμαίους λῃστεύουσιν. οὐκ
bow the confidence having (the)-Romans rob not
ὀλίγην οὖν τῷ τρόπῳ τούτῳ συναγηόχει δύναμιν, καὶ
little then in-the manner this he-had-gathered force and
ἐπιὼν τούς τε πατριώτας ἑαυτοῦ ἐς τὸν γεωργικὸν
coming-on the both countrymen his-own to the farming
ὄχλον καὶ τῶν ζώων ἐλυμαίνετο τὰ ὑπὸ ζυγόν, καὶ
crowd and of-the animals maltreated the(-ones) under yoke and
τοὺς Λαοδικεῖς δὲ Φρύγας μυριαχῶς ἐκάκωσεν, ὥσπερ
the Laodikeian too Phrygians in-countless-ways ill-treated as
καὶ τοὺς τῶν Χωνῶν τῶν ἐμῶν οἰκήτορας, τὰς ἅλωνας
also the — of-Chonai the my inhabitants the threshing-floors
κατὰ τὸν θέρειον καιρὸν πυρπολῶν καὶ τὸ προστυχὸν
in the summer time burning and the(-thing) chancing
ὡς πολέμιος χειρίστως διατιθέμενος· ἐῶ γὰρ λέγειν
as (an)-enemy worst treating I-leave for to-say
ὡς τοὺς Τούρκους φιλανθρωπευομένους ἐνιαχοῦ πρὸς τὸ
how the Turks being-humane in-places toward the
ἐκ γειτόνων σφίσι Χριστώνυμον κακῶς ἔφασκε καὶ
from neighbors them Christ-named(-people) badly he-spoke(-of) and
ἐπέπληττεν. ἐμβαλὼν δὲ καὶ τῇ Καρίᾳ καὶ πολλοὺς
rebuked having-invaded and also — Caria and many
τῶν ἐκεῖ προνομεύσας τοῖς βαρβάροις ἐκδέδωκεν εἰς
of-the(-people) there having-plundered to-the barbarians gave-over for

ἀπαγωγήν. ἀλλὰ καὶ τὸν νεὼν τοῦ ἀρχιστρατήγου Μιχαὴλ
carrying-off but also the temple of-the archistrategos Michael
ὁ ἄνομος οὗτος διαφῆκεν ἐμπρῆσαι, ἔργον μέγιστον καὶ
the lawless(-man) this let to-burn (a)-work greatest and
περίπυστον ὄντα, καὶ ὑπερβαίνοντα ἐς κάλλος καὶ τὴν εἰς
famous being and surpassing in beauty and the in
μῆκος ἔκτασιν τὸ ἐν τῇ βασιλίδι πόλει τοῦ καλλιμάρτυρος
length extent the in the queen city of-the fair-martyr
Μωκίου τέμενος. ὡς δέ ποτε πρὸς τὸν σουλτὰν ἐπανέζευξε
Mokios precinct as and once to the sultan he-returned
τοιούτων παρανομιῶν πλήρης, καὶ πύθοιτο βασιλεὺς οὐκ
of-such lawlessnesses full and learned (the)-emperor not
εἰς ἀγαθὰς ἐννοίας καὶ πράξεις τὸν Ἰκονιάρχην ἐνάγειν
to good thoughts and deeds the lord-of-Ikonion to-lead
Καϊχοσρόην ἄρτι πρὸς πατρὸς ἐκλελοιπότος τὸ ζῆν
Kaichosroes just-now from (his)-father having-left the life
τὴν ἀρχὴν τοῦ Ἰκονίου δεξάμενον, πρέσβεις ἔστειλε, καὶ
the rule — of-Ikonion having-received envoys he-sent and
χρήματα παρασχὼν τῷ σουλτὰν καταπροδοθέντα εἶχε
money having-provided to-the sultan betrayed had
καὶ ἀνάπεμπτον αὐτῷ γενόμενον τὸν Μαγκαφᾶν, πλήν
and sent-up to-him having-become — Mankaphas however
γε μεθ' ὁμολογίας καὶ πίστεως μὴ ὥστε τοὐπιτίμιον
at-least with agreement and pledge not so-that the-penalty
αὐτῷ τῆς ἀποστασίας κείσεσθαι θάνατον ἢ μέρος
to-him of-the revolt to-lie death or (a)-part
περικοπῆναι καὶ διαλωβηθῆναι τοῦ σώματος· οὗ χάριν
to-be-cut-off and to-be-maimed of-the body of-which for-the-sake
ἀπαθὴς ἑτέρου παντὸς ὀφθεὶς κακοῦ δεσμὰ κατακέκριτο
unharmed of-other every seen evil to-bonds was-condemned
χρόνια. τοσοῦτον δὲ τὸ ἔργον τόδε τοῦ σουλτὰν τοῖς
long so-much and the deed this of-the sultan to-the

λοιποῖς αὐτοῦ κασιγνήτοις, ὁπόσοι τὴν πατρῴαν ἀρχὴν
other his brothers as-many-as the paternal rule
συνδιείλοντο ἐκείνῳ, ἀποθύμιον ἔδοξεν, ὥστε καὶ ὅπλα
divided-with him unpleasing seemed so-that also arms
ἤραντο ἂν κατ᾽ αὐτοῦ ὡς ἄνθρωπον ἐς αὐτὸν ἑκουσίως
would-have-raised — against him as (a)-man to him willingly
ἀφιγμένον συνειληφότος καὶ καταπροδόντος Ῥωμαίων
having-come having-seized and having-betrayed of-(the)-Romans
βασιλεῖ ἐπὶ λήμμασιν, εἰ μὴ οὗτος εὐπρόσωπον
to-(the)-emperor for gains if not this(-one) plausible
τιθεὶς τὴν ἀπόκρισιν ἐπὶ συμβάσεσιν ἀποστεῖλαι, οὐ μὴν
making the answer on terms to-have-sent not indeed
καταπροδοῦναι διισχυρίζετο, καὶ πλάνητα ὄντα ἐς τὴν
to-have-betrayed insisted and (a)-wanderer being to the
πατρίδα καταγαγεῖν, ὡς μηκέτι διώκοντα εἶναι καὶ
fatherland to-have-brought-back as no-longer pursuing to-be and
διωκόμενον. καὶ ταῦτα μὲν εἶχεν οὕτως.
pursued and these(-things) indeed held thus

III · FREDERICK ASKS PASSAGE

Frederick, king of the Germans, asks passage to Palestine and a market, but the later envoys make the king hostile and the emperor suspicious. Choniates, governor of Philippopolis, is ordered to rebuild its walls and then to demolish them. Isaac detains the envoys and blocks the passes; Frederick takes another road and enters Philippopolis, welcomed by the Armenians as kin in heresy, and writes that he means the Romans no harm.

Οὐκ ἦν δὲ λυκάβαντα παρελθεῖν μή τι
not it-was(-possible) and (a)-year to-pass not anything
ἐπενεγκόντα κοινὸν ἀποτρόπαιον, ὡς εἴπερ τὸ θεῖον
having-brought common abominable as if the divine

ἐπέκλωσεν ἀνειρηνεύτους τὰς ἡμέρας τῶν καθ' ἡμᾶς
spun without-peace the days of-the(-men) in our(-time)
μερόπων παραδραμεῖν· ὡς γάρ τι ἐνδεόντων πρὸς
mortals to-run-by as for something lacking to
τὸ καθῆκον τῆς μαστιγώσεως τῶν ἐκ τοῦ κύκλῳ
the fitting of-the scourging of-the from the around
βαρβαρικοῦ μαχισμῶν, καὶ ὑπερόριον κακὸν εἰσεκώμασε
barbarian battles and from-abroad evil reveled-in
Φρεδέριχος ὁ τῶν Ἀλαμανῶν ῥήξ. πρὸς γὰρ τὸν βασιλέα
Frederick the of-the Alamans king to for the emperor
διαπρεσβευσάμενος Ἰσαάκιον, ὡς διὰ φιλίας ᾐτεῖτο
having-sent-envoys Isaac as through friendship he-asked
τῆς Ῥωμαίων γῆς παριέναι αὐτός τε καὶ ὅσον οἱ
of-the Romans' land to-pass himself both and as-much-as him
ἐφέποιτο στράτευμα ἐν τῷ ἀπαίρειν εἰς Παλαιστίνην,
might-follow army in the setting-out to Palestine
καὶ τὰ πρὸς τὸ ζῆν ὠνουμένοις αὐτοῖς χορηγεῖσθαι,
and the(-things) for the living buying for-them to-be-supplied
καὶ τὸ δοκοῦν ἐπὶ τούτοις αὐτῷ σημανεῖν δι'
and the(-thing) seeming on these to-him to-signify through
οἰκείων ἀνταποστολῆς πρέσβεων. στέλλεται τοίνυν πρὸς
own counter-sending of-envoys is-sent therefore to
αὐτὸν ὁ τοῦ δρόμου λογοθέτης Ἰωάννης ὁ Δούκας,
him the of-the course logothete John the Doukas
καὶ πίστεις δοὺς καὶ λαβὼν ὡς αὐτὸς μὲν ὁ ῥὴξ
and pledges having-given and taken that himself indeed the king
τὴν ὑπὸ Ῥωμαίους ἀμαχεὶ διελεύσεται καὶ μηδέν
the(-land) under (the)-Romans without-fighting will-pass-through and nothing
τι δράσας ἐσεῖται κακόν, οὐ πόλιν, οὐ κώμην, οὐ
at-all doing will-be evil not city not village not
φρούριον, οὐ πολίχνιον, Ῥωμαῖοι δὲ προβαλοῦσιν αὐτῷ
fort not small-town (the)-Romans and will-put-before him

τὰ ἐπιτήδεια ἄφθονα, ὡς μή τινος σπανίζειν τὴν
the provisions abundant so-that not of-anything to-lack the
ὑπ᾽ αὐτὸν στρατιὰν ἀλλ᾽ ἀπραγμόνως καὶ κατὰ λαιμὸν
under him army but without-trouble and by (the)-gullet
ἔχειν ὥσπερ ἐπεμβυόμενα ὅσοις ἄνθρωποι τρέφονται
to-have as stuffed-in(-food) by-as-many-as men are-fed
καὶ οἷα τοῖς ἵπποις ξυμβάλλεται, μετὰ καιρὸν ἐκεῖθεν
and such-as for-the horses are-contributed after (a)-time thence
ἐπάνεισι καὶ ἀγγέλλει τὰ ξυμφωνηθέντα τῷ βασιλεῖ.
he-returns and reports the(-things) agreed to-the emperor
καὶ ὁ βασιλεὺς τῆς ξυλλογῆς τῶν ὠνίων φροντίδα
and the emperor of-the collection of-the wares care
τίθησι, καὶ ἦν ἐξ ἐπιτάγματος ὑπὸ τῶν ἐπαρχιωτῶν
makes and they-were by order by the provincials
αὐτίκα μεταφερόμενα καθ᾽ οὓς ἔμελλε τόπους ὁ ῥὴξ
at-once carried to which he-was-about places the king
διέρχεσθαι. ὡς δὲ καὶ αὐτὸς ἐντὸς εἶναι τῶν ὁρίων
to-pass-through as and also himself within to-be the borders
ἠγγέλλετο τῶν Ῥωμαϊκῶν καὶ γράμματα πεφοιτηκότα τῷ
was-reported of-the Roman and letters having-come to-the
βασιλεῖ μετ᾽ ἀνδρῶν κατὰ γένος λαμπρῶν καὶ ἀξίωσιν
emperor with men by race brilliant and dignity
τὴν αὐτοῦ παρουσίαν ἐσήμαινον, ὁ αὐτὸς καὶ πάλιν
the his presence signified the same also again
στέλλεται λογοθέτης εὖ διαθήσων τὴν δίοδον τοῦ ῥηγός,
is-sent logothete well going-to-arrange the passage of-the king
σὺν αὐτῷ δὲ καὶ ὁ Καντακουζηνὸς Ἀνδρόνικος. ἀλλ᾽
with him and also — Kantakouzenos Andronikos but
οὗτοι ἀνεπιστημοσύνῃ τῶν ὀφειλόντων γενέσθαι καὶ
these by-ignorance of-the(-things) needing to-be-done and
μαλακότητι οἰκείᾳ (χρεὼν γὰρ καὶ φίλων ἡμῖν τῶν
by-softness own it-is-needful for even friends to-us the

ἀνδρῶν ὄντων ὡς πρεσβυτέραν καὶ φιλτέραν τιμᾶν τὴν
men being as older and dearer to-honor the
ἀλήθειαν) αὐτόν τε τὸν ῥῆγα κατὰ Ῥωμαίων ἐξέμηναν καὶ
truth himself both the king against (the)-Romans maddened and
τὸν βασιλέα ὡς πολέμιον ἐκεῖνον ὑφορᾶσθαι παρέπεισαν.
the emperor as (an)-enemy him to-suspect persuaded
ὅθεν οἵ τε ὅρκοι συνεχέθησαν, καὶ ἡ τῶν ζωαρκῶν
whence the both oaths were-confounded and the of-the life-sustaining(-things)
ἐπιλελοίπει συγκομιδή, καὶ ἡμεῖς οἱ ταῦτα γράφοντες
had-failed collection and we the(-ones) these(-things) writing
πλείστοις ἀνιαροῖς προσεπλάκημεν, τὴν τοῦ θέματος
with-very-many grievances were-entangled the of-the theme
Φιλιππουπόλεως ὑπεζωσμένοι τηνικαῦτα καὶ ἀρχὴν καὶ
of-Philippopolis having-girded-on at-that-time both rule and
ἀπογραφήν, νῦν μὲν πρὸς βασιλέως ἐπιταττόμενοι
tax-assessment now indeed by (the)-emperor being-ordered
ἀνακτίζειν τὸν τῆς Φιλίππου περίβολον καὶ διαταφρεύειν,
to-rebuild the of-the of-Philip circuit and to-ditch(-it)
καὶ οὕτω κατὰ τοὺς στενοὺς ἐκείνους καὶ κινδυνώδεις
and thus in the narrow those and dangerous
χρόνους διαπραττόμενοι, μετὰ βραχὺ δὲ διὰ γραμμάτων τὴν
times doing after (a)-little and by letters the
καθαίρεσιν ἐπιτιμώμενοι, ἵνα μὴ εἴη κρησφύγετον τῷ
demolition being-enjoined that not it-might-be (a)-refuge for-the
ῥηγί. ἀμέλει καὶ ὁ μὲν ἐκδρομὰς ποιούμενος τὰ πρὸς
king indeed also he indeed raids making the(-things) for
τὸ ζῆν ἐπορίζετο, βασιλεὺς δὲ τοὺς τοῦ ῥηγὸς πρέσβεις
the living provided (the)-emperor and the of-the king envoys
οὐκ εἴα ἐπανελεύσεσθαι πρὸς τὸν ἀποστείλαντα, καὶ
not allowed to-return to the(-one) having-sent(-them) and
τὰς στενὰς τῶν παρόδων, ὡς ἐκείνῳ ἐδόκει, ἀπέκλειε,
the narrow(-parts) of-the passes as to-him it-seemed shut-off

καταβάλλων διὰ πελέκεων τὰ τῶν δένδρων ὑψιτενῆ καὶ
throwing-down with axes the of-the trees tall and
βαθύρριζα, καὶ ταῦτα ἐκκορυφῶν ὡς εἰς ἀδιεξίτητον
deep-rooted and these(-things) topping as into impassable
ἀντίφραγμα τοῖς ὁδεύουσιν. ἀλλὰ καὶ τὸν ἐξάδελφον
barrier for-the(-ones) traveling but also the cousin
ἐκείνου Μανουὴλ τὸν Καμύτζην, πρωτοστράτορα ὄντα, καὶ
his Manuel the Kamytzes protostrator being and
τὸν τῆς δύσεως δομέστικον τὸν Γίδον Ἀλέξιον παρέπεσθαί
the of-the west domestic — Gidos Alexios to-follow
οἱ μετὰ στρατευμάτων ἐκέλευσε, καὶ λεληθότως ἐπιτίθεσθαι
him with armies he-ordered and secretly to-attack
τοῖς χορτολογοῦσι καὶ τὰς τροφὰς μαστεύουσιν Ἀλαμανοῖς.
the foraging and the foods seeking Alamans
τῷ δὲ ῥηγὶ οὕτω προσέστησαν τὰ ταῖς δυσχωρίαις
to-the and king thus stood-against the in-the rough-places
γεγενημένα διὰ καταβολῆς τῶν δένδρων ἐπιτειχίσματα
made through felling of-the trees fortifications
ὥστε σὺν πόνῳ οὐδενὶ παρῆλθεν αὐτά. τὸ δὲ δὴ
so-that with toil none he-passed them the and indeed
χαριέστερον, αὐτὸς μὲν δι' ἄλλης ὁδοῦ ἐπορεύθη καὶ
more-graceful(-thing) himself indeed by another road marched and
εἰσῆλθε τὴν Φιλιππούπολιν καὶ κατ' αὐτὴν ἐβάλετο χάρακα,
entered — Philippopolis and at it threw (a)-palisade
Ῥωμαίους δὲ ἀντιπαρελθὼν ἔλαθε γενόμενος ἐν τοῖς
(the)-Romans and having-passed-by escaped-notice having-become in the(-places)
ἔμπροσθεν καὶ κατέχων ὧν εἴργετο καὶ ὧν χάριν
ahead and holding from-what he-was-barred and of-what for-the-sake
αἱ πάροδοι ἀπεφράσσοντο. τὴν δὲ Φιλιππούπολιν εἰσιὼν
the passes were-blocked — and Philippopolis entering
κεκενωμένην εὗρε τῶν πλειόνων καὶ ἐπιφανεστέρων αὐτῆς
emptied found of-the most and more-notable its

οἰκητόρων· εἰ γάρ τις καὶ ὑπολέλειπτο, πτωχεύων ἦν
inhabitants if for anyone also had-been-left being-poor was
οὗτος καὶ τὴν οὐσίαν πᾶσαν ἐν οἷς ἐνεδέδυτο ἀριθμῶν
this(-man) and the property all in what be-had-put-on counting
καὶ τοῖς Ἀρμενίοις κατειλεγμένος. οὗτοι γὰρ μόνοι τῶν
and among-the Armenians enrolled these for alone of-the
ἁπάντων οὐκ ἐπιδρομὴν ἐθνῶν ἀλλὰ φίλων παρουσίαν τὴν
all not (an)-inroad of-nations but of-friends (a)-presence the
τῶν Ἀλαμανῶν διέλευσιν ἤγηντο, ἐπειδὴ καὶ συγχρῶνται
of-the Alamans passage had-thought since also associate
Ἀρμενίοις Ἀλαμανοὶ καὶ κατὰ τῶν αἱρέσεων τὰς πλείστας
with-Armenians Alamans and in the heresies the most
ἀλλήλοις συμφέρονται· Ἀρμενίοις γὰρ καὶ Ἀλαμανοῖς ἐπ᾽
with-one-another agree for-Armenians for and for-Alamans on
ἴσης ἡ τῶν ἁγίων εἰκόνων προσκύνησις ἀπηγόρευται,
equal(-terms) the of-the holy icons veneration is-forbidden
καὶ τοῖς ἀζύμοις κατὰ τὰς ἱεροτελεσίας ἀμφότεροι
and the unleavened(-bread) in the sacred-rites both
κέχρηνται, καὶ ἄλλα ἄττα ὀρθοδόξοις Χριστωνύμοις
use and other some(-things) for-orthodox Christ-named(-people)
ἀπόβλητα οὗτοι σφαλλόμενοι τοῦ ὀρθοῦ τηροῦσιν ὡς
rejected these erring from-the right keep as
ἔννομα. πλὴν καὶ τῆς Φιλίππου γενόμενος ὁ ῥὴξ
lawful however also of-the(-city) of-Philip having-become the king
ἐγκρατὴς οὐκ ἀνῆκεν ἐπιστέλλων τῷ πρωτοστράτορι,
master not ceased writing to-the protostrator
καὶ διαμηνυόμενος ὡς μάτην αὐτὸν τῆς πρόσω πορείας
and sending-word that in-vain him from-the forward march
Ῥωμαῖοι κωλύουσι καὶ μὴ δέον ἐπέχουσιν ἐπειγόμενον·
(the)-Romans hinder and not needfully hold-back hastening
μηδὲ γὰρ κατὰ Ῥωμαίων ἀξύμφορόν τι καὶ ἄχαρι καὶ
not-even for against (the)-Romans unprofitable anything and unpleasant both

νῦν καὶ πρότερον βεβουλεῦσθαι, καὶ τὰ συντεθειμένα
now and before to-have-been-planned and the(-things) agreed
δὲ φυλάττειν ἀπαρεγχείρητα. ὁ δὲ δῆλα τιθεὶς τῷ
too to-keep inviolate he and plain making to-the
αὐτοκράτορι τὰ γραφόμενα, καὶ τὸ ποιητέον
autocrat the(-things) written and the(-thing) to-be-done
ἐκεῖθεν ἐπιταττόμενος, οὐδέποτε εἶχε τὸν βασιλέα τὰ
thence being-ordered never had the emperor the(-things)
πρὸς εἰρήνην ἀντεπιστέλλοντα, ἀλλ᾽ ἀρρενοῦντα μᾶλλον
for peace writing-back but making-manly rather
αὐτὸν εἰς τὴν μετὰ τοῦ ῥηγὸς συμπλοκήν, καὶ εἰς ἀγενὲς
him for the with the king engagement and for ignoble
κατονειδίζοντα φρόνημα ὅτι μὴ ἐς δεῦρο ἔχει πυθόμενος
reproaching(-him) spirit because not till now he-has having-learned
ἀναίρεσιν καὶ ἧτταν Ἀλαμανῶν κατὰ ἴλας ἐξιόντων εἰς
(the)-killing and defeat of-Alamans by squadrons going-out for
σιτίων ἀνεύρεσιν καὶ κατὰ πώεα πλατέα κἀκεῖ καὶ τῇδε
of-food finding and in flocks broad there and here
ἐκχεομένων μετὰ πλείστης ὅσης τῆς πεποιθήσεως.
pouring-out with very-great as-much-as the confidence

IV · DOSITHEOS

Convinced that Frederick means to take the city through the Xylokerkos postern, Isaac walls it up and boasts he will shoot Germans from a window at Blachernai. Dositheos, a Stoudite monk of Venetian birth who foretold his reign, is made patriarch of Jerusalem. Isaac deposes the patriarch Basil Kamateros, then Niketas Mountanes for his age, then Leontios, whom he claimed the Mother of God had shown him, and tricks Theodore Balsamon of Antioch into hoping for the see before giving it to Dositheos. The bishops object, and Dositheos is driven out, restored by the axe-bearing guard, and deposed again, losing both thrones like Aesop's dog. George Xiphilinos is appointed.

Ταῦτα δὲ γράφων ἦν ἐν τῷ δοξάζειν παρ᾽ ἑαυτῷ
these(-things) and writing he-was in the thinking by himself
τινῶν ὑφηγήσεσι, φωνούντων μᾶλλον ἀπὸ γαστρὸς
by-some(-men's) suggestions speaking rather from (the)-belly
ἤπερ προειδότων τὰ μέλλοντα, μηδέ ποτε προθέσθαι
than foreknowing the future(-things) not-even ever to-have-proposed
τὸν ῥῆγα τὴν Παλαιστίνην καταλαβεῖν, ἀλλὰ τὴν ἅπασαν
the king — Palestine to-reach but the whole
τρέφειν ἔφεσιν κατὰ τῆς βασιλίδος τῶν πόλεων, καὶ
to-nourish desire against the queen of-the cities and
μέλλειν ἐκ τοῦ δῆθεν ἀναμφιλέκτου διὰ τῆς λεγομένης
to-be-about from the supposedly indisputable through the called
Ξυλοκέρκου πυλίδος τῆς πόλεως εἰσελθεῖν ἔνδοθι καὶ
Xylokerkos postern of-the city to-enter inside and
δρᾶσαι πρῶτον τὰ ἀπευκταῖα, παθεῖν δ᾽ ἔπειτα τὰ
to-do first the abominable(-things) to-suffer and then the(-things)
ἀντίρροπα τοῖς δικαίοις τοῦ θεοῦ σταθμίοις. καὶ τοιαύταις
counterbalancing by-the just — of-God scales and by-such
προληφθεὶς γνώμαις αὐτήν τε τὴν Ξυλόκερκον διὰ τιτάνου
preoccupied opinions itself both — Xylokerkos with lime
καὶ πλίνθου ὀπτῆς ἀπέφραξεν, καὶ βέλη νεοχάλκευτα φέρων
and brick baked blocked and missiles newly-forged carrying
πολλάκις ἐν ταῖν χεροῖν ταῦτ᾽ ἔφασκεν ἀκονᾶν κατὰ
often in the two-hands these(-things) he-said to-sharpen against
καρδίας παγησόμενα τῶν Ἀλαμανῶν· δεικνύων δὲ τὴν
(the)-hearts going-to-be-fixed of-the Alamans showing and the
παράθυρον ἐν τοῖς βασιλείοις τῶν Βλαχερνῶν δι᾽ ἧς
window in the palace — of-Blachernai through which
ὁρατὰ ἦν τὰ ἱππήλατα πεδία τὰ ἔξωθεν τῶν ἐπάλξεων
visible were the horse-riding plains the(-ones) outside the battlements
ἐν τοῖς Φιλοπατίοις καθυπτιάζοντα, ἐκ ταύτης ἔλεγε
in — Philopatia lying-flat from it he-said

μέλλειν ἀφιέναι τὰ βέλεμνα, βάλλειν τε καὶ καταβάλλειν
to-be-about to-let-fly the missiles to-strike both and to-strike-down
τοὺς Ἀλαμανούς, ὥστε καὶ ἐν γέλωτι ἤγετο τοῖς
the Alamans so-that also into laughter were-taken by-the(-ones)
ἀκούουσι τὰ λεγόμενα. ἦν δέ τις Δοσίθεος ἐν τῇ
hearing the(-things) said there-was and some Dositheos in the
τοῦ Στουδίου μονῇ τὴν ἄσκησιν μετιών, ὃς ἐκ Βενετίκων
— of-Stoudios monastery the asceticism pursuing who from Venetians
ἕλκειν τὸ γένος καὶ πατρὸς τοὔνομα Βιτικλίνου γεγονέναι
to-draw the race and of-(a)-father by-name of-Vitiklinos to-have-been
ἐλέγετο· συνήθης δὲ καταστὰς Ἰσαακίῳ πρὸ τῆς ἀρχῆς
was-said familiar and having-become to-Isaac before the rule
προείρηκεν αὐτῷ τὴν βασιλείαν, κἀπειδήπερ εἰλήφει πέρας
had-foretold to-him the empire and-since had-taken (its)-end
τὰ τῆς προρρήσεως, ἤγετο δι᾽ ὅτι πλείστης
the(-things) of-the prediction he-was-held in as-much-as most
τιμῆς παρὰ τῷ βασιλεῖ τούτῳ καὶ τὰ μεγάλα δεδύνητο
honor with the emperor this and the great(-things) was-able
καὶ πατριάρχης Ἱεροσολύμων προυβέβλητο καταλύσαντος
and patriarch of-Jerusalem had-been-put-forward having-ended
τὴν ζωὴν τοῦ τὸν θρόνον τῶν Ἱεροσολύμων τότε
the life the(-one) the throne — of-Jerusalem then
διέποντος Λεοντίου, ἀνδρὸς χαρίεντος τὸ ἦθος καὶ
administering Leontios (a)-man graceful in-the character and
διαβοήτου τὴν ἀρετήν. ὁποία δὲ ἡ τῶν βασιλέων ὁρμὴ
famous in-the virtue of-what-kind and the of-the emperors impulse
καὶ ἰσχὺς οὔκουν ἀνεχομένη μὴ οὐχ ὡς αὐτοῖς αἱρετὸν
and strength not-indeed enduring not not as to-them (is)-chosen
μεταφέρειν καὶ ἀλλοιοῦν τὰ θεῖά τε καὶ ἀνθρώπινα
to-transfer and to-alter the divine both and human
πράγματα, βασιλεύσας Ἰσαάκιος τοῦ πατριαρχικοῦ
affairs having-reigned Isaac from-the patriarchal

θρόνου παραλύει τὸν Καματηρὸν Βασίλειον, καίτοι πρὸς
throne removes — Kamateros Basil although toward
τὴν ἀρχὴν ἐκείνῳ τὰ μέγιστα συναράμενον· αἰτία δ'
the rule to-him the greatest(-things) having-helped (a)-cause and
αὐτῷ περιήφθη τῆς καθαιρέσεως, ὅτι ἂς Ἀνδρόνικος τῶν
to-him was-attached of-the deposition that whom Andronikos of-the
εὖ γεγονυιῶν γυναικῶν οὐχ ἑκούσας ἀπέκειρε μοναζούσας,
well born women not willing had-shorn (as)-nuns
ταύτας αὐτὸς ἐνέδωκε τὸ μέλαν ἀποδύσασθαι ἄμφιον
these himself allowed the black to-put-off garment
καὶ πρὸς τὴν πρώτην μεταβλέψαι καὶ ζωὴν καὶ στολήν.
and to the first to-look-back both life and dress
προβαλόμενος δ' ἀντ' αὐτοῦ πατριάρχην τὸν Μουντάνην
having-put-forward and instead-of him (as)-patriarch — Mountanes
Νικήταν, τῆς μείζονος ἐκκλησίας ὄντα σακελλάριον,
Niketas of-the greatest church being sakellarios
οὐδὲ τὸν τριγέροντα τουτονὶ τῷ θρόνῳ παρῆκεν
not-even the thrice-old(-man) this on-the throne he-let
ἐναποψῦξαι, ἀλλ' ἀφέλειαν καταγνοὺς τοῦ ἀνδρὸς καὶ
to-breathe-his-last but simplicity having-condemned of-the man and
γῆρας ἐπεγκαλέσας ἀνέγκλητον καὶ ἄκοντα τοῦ θρόνου
old-age having-charged blameless and unwilling from-the throne
ἀπεσφενδόνησε. φροντιστικώτερον δὲ διατεθεὶς περὶ τοῦ
slung-off more-carefully and disposed about the
τὸν κυβερνήσοντα τὴν ἐκκλησίαν εὑρεῖν, προχειρίζεται
the(-one) going-to-steer the church to-find he-appoints
μέγαν ποιμένα Λεόντιόν τινα μοναχόν, διαβεβαιούμενος ἐπὶ
great shepherd Leontios some monk affirming on
βασιλικοῦ καὶ διομνύμενος βήματος ὡς οὐχ ἥδει τὸν ἄνδρα
(the)-imperial and swearing tribunal that not he-knew the man
πρότερον, νυκτὸς δὲ ἡ θεομήτωρ τοῦτον αὐτῷ καθυπέδειξε,
before by-night and the Mother-of-God him to-him had-shown

οὐ τὸ εἶδος μόνον καὶ τὴν ἀρετὴν ὑπογράψασα, ἀλλὰ καὶ
not the form only and the virtue having-sketched but also
τὸν τόπον διασαφήσασα καθ' ὃν τὴν οἴκησιν ἔλαχεν.
the place having-made-clear in which the dwelling he-had-obtained
ἀλλ' οὔπω ἐνιαυτὸς ἐξίκετο, καὶ καταστρέφεται καὶ οὗτος
but not-yet (a)-year arrived and is-overturned also this(-one)
τοῦ πατριαρχικοῦ ὑψώματος. ἀποσκορακισθέντος δ'
from-the patriarchal height having-been-sent-to-the-crows and
οὕτω καὶ Λεοντίου, ἔγνω δραματουργῆσαι μετάθεσιν
thus also Leontios he-resolved to-stage (a)-transfer
καὶ εἰς τὴν οἰκουμενικὴν ἐπᾶραι προέδρευσιν τὸν τῶν
and to the ecumenical to-raise presidency the —
Ἱεροσολύμων Δοσίθεον. εἰδὼς δὲ τοὺς κανόνας τοῦτο
of-Jerusalem Dositheos knowing and the canons this
μὴ συγχωροῦντας, μέτεισιν ὑπούλως τὸν διέποντα τὸν
not allowing he-pursues deceitfully the(-one) administering the
θρόνον τῆς θεοῦ πόλεως μεγάλης Ἀντιοχείας Θεόδωρον τὸν
throne of-the of-God city great Antioch Theodore the
Βαλσαμών, ἄνδρα ὑπὲρ τοὺς τότε πάντας ὄντα νομοτριβῆ.
Balsamon (a)-man above the then all being law-practiced
καὶ δὴ κατὰ μόνας αὐτῷ συγγενόμενος σχηματίζεται
and indeed in private with-him having-met he-feigns
τὸν ἀσχάλλοντα εἰ οὕτως ἀνδρῶν φιλοθέων καὶ λογίων
the(-one) vexed if thus of-men God-loving and learned
ἡ ἐκκλησία σπανίζεται καὶ ἡ μοναχικὴ διέρριπται καὶ
the church lacks and the monastic is-scattered and
ἠφάντωται ἀρετή, ὡς μὴ πρότερον εἶναι τὸν ἡμέριον
has-vanished virtue that not sooner to-be the daily
τουτονὶ λαμπτῆρα, τὸν ἀεικίνητον ἥλιον, ἢ τὸν ἐπὶ
this lamp the ever-moving sun than the(-one) on
τῶν κεροιάκων τοῦ ἱεροῦ καθιζησόμενον θρόνου καὶ
the helm-ropes of-the holy going-to-sit throne and

ἀρίστως τὸ τῶν πιστῶν διιθυνοῦντα πλήρωμα. καὶ τοιαῦθ᾽
best the of-the faithful going-to-steer fullness and such
ἕτερα σχετλιαστικῶς προαναβαλόμενος ἐπήγαγε πάλαι
other(-things) complainingly having-put-forward he-added long-ago
μὲν βούλεσθαι μετενεγκεῖν αὐτὸν ἐκ τῆς Ἀντιοχέων
indeed to-wish to-transfer him from the of-(the)-Antiochenes
καθέδρας εἰς τὴν οἰκουμενικὴν περιωπὴν ὡς λύχνον ταῖς
see to the ecumenical lookout as (a)-lamp with-the
τῶν νόμων τηλαυγείαις πάμφωτον, ὑποστέλλεσθαι δὲ τὴν
of-the laws far-shinings all-bright to-shrink and from-the
μετάθεσιν ὡς πάλαι τοῖς κανόσιν ἀπειρημένην καὶ τοῖς
transfer as long-ago by-the canons forbidden and with-the
ἐκκλησιαστικοῖς ἀπᾴδουσαν θεσμοῖς· εἰ δ᾽ αὐτὸς σχοίη
ecclesiastical out-of-tune institutions if and himself should-have
ἂν ὡς νόμους καὶ κανόνας ἀκριβωσάμενος χώραν ἔχουσαν
— as laws and canons having-mastered (as)-place having
ἀποδεδειχέναι, καθά ποτε, καὶ νῦν τὴν μετάθεσιν, καὶ τὰς
to-show as once also now the transfer and the
τῶν πολλῶν εἰς τοῦτο μεθαρμόσειε γνώμας, ἔρμαιον ὄντως
of-the many to this he-might-change opinions (a)-windfall truly
ἡγήσεται τὸ πραχθὲν καὶ οὐκ ἀναβαλεῖται τὸ πέρας
he-will-think the(-thing) done and not will-put-off the end
ἀνεύθυνον ποιοῦν τὴν προχείρισιν. καὶ ὁ μὲν βασιλεὺς
unaccountable making the appointment and the indeed emperor
οὕτως μετῆλθε τὸν Ἀντιοχείας Θεόδωρον, ὁ δὲ πάντα
thus pursued the of-Antioch Theodore he and all(-things)
ἐκτελῆ γενέσθαι κατέθετο. σύλλογοι οὖν μετ᾽ ἐκείνην τὴν
accomplished to-become agreed assemblies then after that the
ἡμέραν ἀρχιερέων ἀνὰ τὰ ἀρχεῖα τὰ ἱερὰ καὶ σύνοδοι
day of-high-priests throughout the residences the holy and synods
καὶ συζήτησις περὶ μεταθέσεως, καὶ παρὰ πόδας ἐκχώρησις
and disputation about transfer and at feet withdrawal

καὶ τόμος ἐπὶ βασιλικοῦ συμπληρούμενος βήματος, καὶ
and (a)-tome on (the)-imperial being-completed tribunal and
ὁ μὲν Ἀντιοχείας πάλιν Ἀντιοχείας ἐώμενος, ὁ δὲ
the indeed of-Antioch again of-Antioch left the other
Δοσίθεος ἀπὸ τοῦ τῶν Ἱεροσολύμων θώκου εἰς τὸν τῆς
Dositheos from the — of-Jerusalem seat to the —
Κωνσταντινουπόλεως ἀναγόμενος, καὶ ἡ προπομπὴ ὡς
of-Constantinople raised and the escort as
λαμπροτάτη καὶ πολυανθρωποτάτη τῶν πώποτε, ὡς
most-brilliant and most-crowded of-the(-ones) ever so-that
εἶναι καὶ θριάμβοις βασιλέων ἀμφήριστος, καὶ ἀχανεῖς ἐπὶ
to-be also with-triumphs of-emperors vying and gaping at
τούτῳ οἱ φενακισθέντες ἀρχιερεῖς καὶ τοὺς κανόνας εἰκῇ
this the deceived high-priests and the canons at-random
κατανωτισάμενοι. ἀμέλει τοι καὶ μὴ ἐπὶ πολὺν χρόνον
having-turned-their-backs-on indeed surely also not for long time
ἐνεγκεῖν τὸν γέλωτα ἔχοντες παρασυναγωγὰς ποιοῦσι καὶ
to-bear the laughter being-able side-assemblies make and
ὀχλαγώγια οἱ λογάδες τοῦ βήματος, καὶ τῶν ἀρχιερέων
mob-rousings the picked(-men) of-the sanctuary and of-the high-priests
ὁπόσον εἶχε τὴν γλῶτταν πρὸς λόγων ἰσχὺν ἐπίσημον.
as-much-as had the tongue for of-words strength notable
οὐκοῦν ἐπιβάτης ἐκκλησίας ἀλλοτρίας ἀκούει Δοσίθεος,
therefore (an)-intruder of-church another's is-called Dositheos
καὶ ἀναλυομένην ἔσχε τὴν δευτέραν τιμήν, καὶ τοῦ
and dissolved had the second honor and from-the
θρόνου κατάγεται. τὴν δ' ἧτταν μὴ φέρειν ἔχων ὁ
throne is-brought-down the and defeat not to-bear being-able the
βασιλεὺς ἀναμαχόμενος ἦν καὶ παντοίως σπεύδων ἰσχύειν
emperor fighting-back was and in-every-way hastening to-validate
τὴν κυρωθεῖσαν μετάθεσιν, καὶ μετὰ βραχύν τινα χρόνον
the ratified transfer and after short some time

ἀναλύσας τὰ ἐπιγενόμενα αὖθις ἐστήριξε τὸν Δοσίθεον,
having-dissolved the(-things) supervening again established — Dositheos
ὅτε καὶ διὰ τῶν πελεκυφόρων αὐτοῦ δορυφόρων καὶ τῶν
when also through the axe-bearing his bodyguards and the
τοῦ παλατίου ἐκκρίτων προύπεμψεν αὐτὸν εἰς τὸ μέγιστον
of-the palace picked(-men) he-escorted him to the greatest
τέμενος, δεδιὼς μὴ τὸ πλῆθος νεωτερίσειεν· ἦν γὰρ διὰ
precinct fearing lest the multitude should-revolt he-was for in
μίσους ἅπασιν ὡς φιλόθρονος ὁ Δοσίθεος, καὶ τὸ τοῦ
hatred to-all as throne-loving — Dositheos and the of-the(-one)
κρατοῦντος ἐπὶ μὴ καιρίοις πράγμασιν ἐνστατικόν τε καὶ
ruling in not opportune affairs obstinate both and
φίλαυτον οὐκ ἐπαινετόν. ἀλλὰ καὶ πάλιν τοῦ θρόνου
self-loving not praiseworthy but also again from-the throne
ἀποδιοπομπεῖται Δοσίθεος, καὶ πέπονθεν ἀτεχνῶς τὸ
is-driven-off Dositheos and suffered simply the(-fate)
τῆς Αἰσωπείας κυνός, ἧς τε διεῖπεν ἀποπεσὼν ἱερᾶς
of-the Aesopian dog what both he-administered having-fallen-from holy
ἀρχῆς (ἕτερος γὰρ Ἱεροσολύμων κεχειροτόνητο) καὶ τοῦ
office another for of-Jerusalem had-been-ordained and from-the
μείζονος θρόνου καθαιρεθείς. καὶ τοῦτο μὲν ἐσέπειτα,
greater throne deposed and this indeed afterward
καὶ προχειρίζεται πατριάρχης μέγας ὢν σκευοφύλαξ ὁ
and is-appointed patriarch great being skeuophylax —
Ξιφιλῖνος Γεώργιος.
Xiphilinos George

Dositheos leads Isaac by the ears with dream-prophecies. The protostrator plans a night ambush near Philippopolis, but the Germans, warned by the Armenians of Prousenos, strike the Roman camp with five thousand men. The Alans under Theodore Branas fight alone and fall; the Romans flee, and the protostrator reappears on the third day. Choniates reports to Isaac the Germans' claim that he had sworn friendship with the Saracens' ruler in blood. Isaac turns to hastening their crossing, but when the king, it being November, puts it off to spring, Isaac reverts and writes predicting his death before Easter. When his envoys report that they were made to stand before Isaac, Frederick seats the Roman envoys with their cooks and grooms. He moves to Adrianople, leaving his son at Philippopolis.

Τότε δ', ὡς ἁπανταχῇ περιήδετο, ἐκ Σολομωντείων
then and as everywhere was-sung-about from Solomonic
βίβλων ἰνδάλματα τῶν ἐσομένων καί τινας ἐμφάσεις
books images of-the(-things) going-to-be and some appearances
κατὰ τοὺς ὀνειροπομποὺς δαίμονας ἀποτρυγῶν ὁ
according-to the dream-sending demons gathering —
Δοσίθεος οὐχ ὥσπερ ἀπὸ ῥινὸς ἀλλ' ἐκ τῶν ὤτων εἵλκε
Dositheos not as from (the)-nose but by the ears drew
τὸν αὐτοκράτορα. ὁ δέ γε πρωτοστράτωρ κατὰ
the autocrat the and at-least protostrator according-to
τὰς βασιλικὰς ὑποθημοσύνας διαπραττόμενος παρεβλέπετο
the imperial suggestions acting overlooked
τὰ πρὸς αὐτὸν γραφόμενα παρὰ τοῦ ῥηγός, καὶ
the(-things) to him written by the king and
ἅπας ἐγίνετο τοῦ δρᾶσαί τι κακὸν τοὺς Ἀλαμανούς
wholly became of-the to-do some evil to-the Alamans
περὶ φρυγανισμὸν ἐξιόντας. καὶ δή ποτε περὶ τοὺς
for foraging going-out and indeed once about the
δισχιλίους τε καὶ εὐίππους ἀποκεκρικὼς ἠθέλησεν ἀγχοῦ
two-thousand both and well-horsed having-selected wished near

που τῆς Φιλίππου πορευθῆναι νυκτὸς καὶ τῶν ἐκεῖθι
somewhere the(-city) of-Philip to-go by-night and at-the there
βουνῶν ἐχομένως ὑποκαθίσαι λόχον καὶ τοῖς σιτοφόροις
hills closely to-set (an)-ambush and on-the grain-carriers
ἐπιθέσθαι ὄρθριος. καὶ αὐτὸς μὲν τοιαύτης εἴχετο πράξεως,
to-fall early and himself indeed such held-to deed
τὰ δὲ σκευοφόρα καὶ τὸ ὑπουργικὸν τοῖς στρατιώταις
the and baggage and the serving(-force) for-the soldiers
καὶ τὸ λοιπὸν στράτευμα ἐκεῖθεν μεταβῆναι μεθ' ἡμῶν
and the rest army thence to-move with us
ἐπέταξεν, ὡς εἰ θεόθεν ἦν ἐμπνευσθείς. οὔπω γὰρ ἦν
he-ordered as if from-God he-were inspired not-yet for was
ἡμέρα διαγελῶσα, καὶ οἱ Ἀλαμανοὶ μαθόντες παρὰ τῶν
(the)-day laughing and the Alamans having-learned from the
ἐς τὸ φρούριον τὸν Προυσηνὸν Ἀρμενίων (ἐκεῖσε γὰρ ἡ
in the fort — Prousenos Armenians there for the
βασιλικὴ κατεστρατοπεδεύετο στρατιά) ὅσα ἦν τῷ
imperial was-encamped army as-much-as was for-the
πρωτοστράτορι πρὸς βουλῆς, νύκτα τὴν αὐτὴν ἐξάραντες
protostrator by plan (the)-night the same having-set-out
τῆς Φιλίππου ὑπὲρ τὰς πέντε χιλιάδας σιδήρῳ πάντες
from-the(-city) of-Philip over the five thousands with-iron all
κατάφρακτοι ἐπιθέσθαι ἡμῖν ἠπείγοντο, λαθόντες
armored to-attack us hastened having-escaped-notice-of
οὓς εἴχομεν ὀπτῆρας καὶ φύλακας, μηδὲ τοῖς ἅμα
whom we-had (as)-scouts and guards nor with-the(-men) with
τῷ πρωτοστράτορι ἐπιλέκτοις συνηντηκότες, ἐπεὶ καὶ ὁ
the protostrator picked having-met since also the
μὲν πρωτοστράτωρ τὰ τοῖς ὄρεσι προσεγγίζοντα μέρη
indeed protostrator the to-the mountains near parts
ἐπεπορεύετο, ἔνθα καὶ χωρία ἦν εἰσέτι τῶν ἐπιτηδείων
went-along where also lands were still of-the provisions

ἔμπλεα, καὶ τοὺς γηλόφους ὑπεδύετο κλέπτων τὸ θεαθῆναι
full and the hills entered stealing the being-seen
πρὸς τοῦ θηράματος, οἱ δ' Ἀλαμανοὶ πεποιθύτως ἐβάδιζον
by the prey the and Alamans confidently walked
τὴν διὰ λείου πεδίου εἰς τὸ Ῥωμαϊκὸν στρατόπεδον
the(-road) through smooth plain to the Roman camp
φέρουσαν. ὡς δ' οὐδένα εὗροσαν ἀντίμαχον οἱ πολέμιοι,
leading as and none found opposing the enemies
ἀλλὰ τὴν μὲν ἀποσκευὴν τοῦ στρατεύματος κατὰ τὴν
but the indeed baggage of-the army in the
τῆτες δείλην ἀπονοστῆσαι ἐκεῖθεν ἐπύθοντο, ὅσον δ'
this-year's evening to-have-gone-away thence they-learned as-much-as and
αὐτοῦ κράτιστον, κατὰ τῶν ἐκ τοῦ γένους σφῶν τὰ
of-it strongest against the(-men) of the race their the
σῖτα εἰς τὴν παρεμβολὴν μεταφερόντων ἐξωρμηκέναι,
grain into the camp carrying to-have-set-out
μὴ ἀναμείναντες τὴν ἀγγελίαν τοὺς ἵππους μετήνεγκαν,
not having-waited-for the message the horses turned
εὑρεθῆναι τοῖς ζητοῦσιν γλιχόμενοι. οὐκοῦν οἱ μὲν
to-be-found by-the(-ones) seeking longing therefore they indeed
τὸν ἐκεῖθι λόφον ὑποκαταβαίνοντες, ὃς περὶ τὸ φρούριον
the there hill coming-down which about the fort
ἐξῆρται τὸν Προυσηνόν, οἱ δ' ἡμέτεροι ἀνιόντες προσέμιξαν
rises — Prousenos the and our(-men) going-up met
ἀλλήλοις ἀδόκητοι. ἐπεὶ δὲ καὶ συμπλακέντες ἐμάχοντο, οἱ
one-another unexpected when and also having-grappled they-fought the
μὲν Ἀλανοὶ ἐξηγούμενον αὐτῶν ἔχοντες τὸν τοῦ Ἀλεξίου
indeed Alans leading them having the — of-Alexios
Βρανᾶ υἱὸν τὸν Θεόδωρον μικροῦ ἔπεσον πάντες ὡς μόνοι
Branas son — Theodore by-little fell all as alone
καὶ πρῶτοι μαχεσάμενοι τοῖς Ἀλαμανοῖς, οἱ δὲ Ῥωμαῖοι
and first having-fought with-the Alamans the and Romans

ἐδραπέτευον προτροπάδην καὶ ἀκλεῶς, μηδὲ καθαρῶς
ran-away headlong and ingloriously not-even clearly
ἐμβλέψαι τοῖς ἐναντίοις ὑπενεγκόντες. καὶ αὐτὸς δὲ ὁ
to-look at-the opponents having-endured and himself too the
πρωτοστράτωρ δι᾽ ἄλλης ὁδοῦ ἀνακεχωρηκὼς ἄφαντος ἦν
protostrator by another road having-withdrawn vanished was
ἐκ τοῦδε ἡμῖν εἰς τρίτην ἡμέραν, τρισάσμενος δὲ τὰς
from this(-time) to-us till (the)-third day thrice-gladly and the
χεῖρας τῶν πολεμίων διεκφυγὼν μόλις ἐπανέζευξεν, ὡς
hands of-the enemies having-escaped barely returned as
ἐκ μακροῦ πελάγους εἰς λιμένα κατάρας, ἔτι τὴν ἅλμην
from (a)-long sea into harbor having-put-in still the brine
ἀποπτύων τοῦ μαχισμοῦ καὶ τοῖς ὠσὶ φέρων ἐναύλους
spitting-out of-the battle and in-the ears carrying ringing
τὰς ἐπὶ τῷ αὐτὸν ἁλῶναι προϊεμένας διατόρους φωνὰς
the at the him to-be-taken uttered piercing voices
τῶν Ἀλαμανῶν. πολλοὶ δὲ καὶ ἄνοπλοι καὶ ἄνιπποι ἐς
of-the Alamans many and also unarmed and horseless into
τὸ στρατόπεδον ἐπανήλθοσαν, τῇ συντονίᾳ τοῦ δρόμου
the camp returned by-the intensity of-the running
λακησάντων σφίσι τῶν ὀχημάτων. τὸ δ᾽ ἀπὸ τοῦδε
having-burst for-them the vehicles the and from this(-time)
τοσοῦτον ἀπεσχοινίσμεθα ἀλλήλων Ἀλαμανοί τε καὶ
so-much we-were-roped-off from-one-another Alamans both and
Ῥωμαῖοι ὡς σταδίους διεστάναι πλείους τῶν ἑξήκοντα·
(the)-Romans as stades to-stand-apart more than-the sixty
οἱ μὲν γὰρ ἔτι τῇ Φιλίππου προσέμενον, ἡμεῖς
they indeed for still at-the(-city) of-Philip remained we
δὲ περὶ τὰ ἔσχατα τῆς Ἀχριδοῦ γενόμενοι ἡσυχάζομεν,
and about the farthest(-parts) — of-Achris having-come kept-quiet
εἰ σωζοίμεθα μόνον ἐπιμελόμενοι. εἴπω δέ τι καὶ
if we-might-be-saved only caring let-me-say and something also

ἕτερον, κείροντες τὴν ἰδίαν τὰ σῖτα εἰσεφερόμεθα. καὶ
other ravaging the own(-land) the grain we-brought-in and
τὰ τοιαῦτα εἰσεληλυθότα τοῦ βασιλέως ἐνώπιον ἐνδοῦναι
the such(-things) having-come of-the emperor before to-give-in
μόγις τοῦ ἄγαν ἔπεισαν. καὶ ἡμεῖς δ' αὐτοὶ μετὰ βραχὺ
barely from-the excessive persuaded and we too ourselves after (a)-little
ἀφικόμενοι κατὰ μέρος πάντα διηγησάμεθα, προσθέμενοι
having-arrived in detail all(-things) related having-added
ὡς φασιν οἱ Ἀλαμανοὶ μηδὲν ἕτερον εἶναι τὸ πεῖσαν
as say the Alamans nothing other to-be the(-thing) having-persuaded
τὸν βασιλέα Ῥωμαίων τὰ τῶν ἑσπερίων Χριστιανῶν ὅρκια
the emperor of-(the)-Romans the of-the western Christians oaths
παραβλέψασθαι ἢ τὸ μετὰ τοῦ τῶν Σαρακηνῶν ἄρχοντος
to-overlook than the with the of-the Saracens ruler
σπείσασθαι, καὶ κατὰ τὸ παρ' αὐτοῖς περὶ φιλίας κρατοῦν
to-make-a-treaty and according-to the among them about friendship prevailing
ἔθιμον ἀμφοτέρους σχάσαι φλέβα τὴν ἐπιστήθιον καὶ τὸ
custom both to-open (a)-vein the on-the-breast and the
ἐκεῖθεν ἐκρυὲν αἷμα ἑκάτερον εἰς πόσιν ἀντιπροτείνασθαι. καὶ
thence flowed-out blood each for drinking to-hold-out-in-turn and
μεταβαλεῖν οὕτως ἰσχύσαμεν τῆς ἐνστάσεως. ἀμέλει τὴν
to-change thus we-were-able from-the opposition indeed the
ἐναντίαν τραπόμενος τῆς προτέρας ὁ βασιλεὺς προθέσεως,
opposite having-turned of-the former the emperor purpose
ἐγλίχετο τῆς ἐς ἕω τῶν Ἀλαμανῶν περαιώσεως. ὁρῶν
longed-for the to (the)-east of-the Alamans crossing seeing
δὲ τὸν ῥῆγα διὰ τὴν ἐς χειμῶνα τῆς ὥρας μετατροπὴν
and the king because-of the to winter of-the season change
(ἦν γὰρ Νοέμβριος μὴν ὅτε ταῦτα ἐγίνετο) εἰς ἔαρ τὴν
it-was for November month when these(-things) happened to spring the
μετάβασιν ἀνατιθέμενον, πάλιν τοῖς προτέροις ἐνέμενε, καὶ
crossing putting-off again in-the former he-stayed and

ἐπιστέλλων προηγόρευε τῷ ῥηγί, βασιλεῦσιν οὐχ ἁρμοδίως,
writing foretold to-the king for-emperors not fittingly
ὡς θανεῖται πρὸ τῶν πασχαλίων ἡμερῶν. καὶ ἵνα τὰ
that he-will-die before the Easter days and that the(-things)
ἐν μέσῳ παρῶ πλείω κατηγορίαν τοῦ δρῶντος
in (the)-middle I-may-pass-over more accusation of-the(-one) doing
καὶ λέγοντος ἤπερ ἔπαινον ἔχοντα, πείθεται μόλις διαφεῖναι
and saying than praise having is-persuaded barely to-let-go
τοὺς πρέσβεις ἐς τὸν ῥῆγα ἐπανελθεῖν. αὐτὸς δὲ τούτους
the envoys to the king to-return himself and them
ἰδών, καὶ μαθὼν ὡς οὔτε καθέδρας ὁ βασιλεὺς αὐτοῖς
having-seen and having-learned that neither seats the emperor to-them
μετέδωκεν ἀλλὰ δουλοπρεπῶς ἐπ᾽ ἴσης Ῥωμαίοις
gave but slavishly on equal(-terms) with-(the)-Romans
αὐτῷ παρειστήκεισαν ὀπτανόμενοι, οὔτε τινὸς ἑτέρου
to-him they-had-stood seen nor any other
ἠξιώθησαν ἀγαθοῦ ἐξαιρέτου ἐπίσκοποί τε ὄντες
were-they-deemed-worthy-of good exceptional bishops both being
καὶ αὐτῷ προσγενεῖς, ἠγανάκτει καὶ δῆλος ἦν ἐπὶ τῷ
and to-him kinsmen was-indignant and plain was at the
γεγονότι τῷδε διαπριόμενος. ὡς δὲ καὶ πρέσβεις ἡμέτεροι
having-happened this being-sawn-apart as and also envoys our
παρ᾽ ἐκεῖνον ἀφίκοντο, ἑαυτῷ συμπαρέδρους πεποίηκεν
to him arrived his-own fellow-sitters he-made
αὐτούς τε καὶ τοὺς ὑπηρετουμένους αὐτοῖς, μηδὲ τοὺς
them both and the(-ones) serving them not-even the
ὀψοποιοὺς καὶ ἱπποκόμους καὶ μάττοντας παρίστασθαι
cooks and grooms and kneaders to-stand-by
ἀφεικώς. μὴ εἶναι δὲ λεγόντων ἐκείνων εἰκὸς βασιλεῖ
having-allowed not to-be and saying they fitting with-(an)-emperor
μεγίστῳ συνθωκεύειν ὑπηρέτας (ἀρκετὸν γὰρ ὅτι καὶ οἱ
greatest to-sit-with servants (is)-enough for that also the

κύριοι αὐτῶν συνεδρεύουσιν) οὐ καθυφῆκέ τι μικρὸν
lords their sit-in-council not he-relaxed anything little
τοῦ σκοποῦ, ἀλλὰ καὶ μὴ ἑκόντας τοῖς δεσπόταις αὐτοὺς
of-the aim but also not willing with-the masters them
συγκατέκλινεν, ἐν οἷς ἔπραττε Ῥωμαίους καταμωκώμενος,
made-recline in which he-did (the)-Romans mocking
καὶ δεικνὺς μὴ ἀρετῆς καὶ γένους εἶναι παρ' αὐτοῖς
and showing not of-virtue and of-race to-be among them
διαστολήν, ἀλλ' ὡς εἰς συφεὸν οἱ συφορβοὶ τὰς σῦς
distinction but as into (a)-pigsty the swineherds the swine
ἁπαξαπάσας εἰσελῶσιν εἰς ἕνα σταθμόν, μὴ διιστῶντες
all drive into one stall not separating
τὰς πίονας καὶ πλειόνως διαχέειν ἐχούσας τὸ ἀποδίδοσθαι,
the fat(-ones) and more to-pour-out able the to-be-sold
οὕτω δὴ καὶ Ῥωμαῖοι παραστατοῦντας ἔχουσιν ἅπαντας.
so indeed also (the)-Romans standing-by have all
οὐ πολλοῦ δὲ διαγενομένου καιροῦ ἠνάγκασεν αὐτὸν ἡ
not much and having-passed time compelled him the
τῶν ἐπιτηδείων ὑποσπάνισις μερίσαι τὸ οἰκεῖον στράτευμα.
of-the provisions scarcity to-divide the own army
οὐκοῦν αὐτὸς μὲν ἄπεισιν εἰς Ὀρεστιάδα, κατὰ δὲ τὴν
therefore himself indeed goes-off to Orestias at and —
Φιλιππούπολιν εἴασε τὸν ἑαυτοῦ υἱὸν καὶ τοὺς ἐπισκόπους
Philippopolis he-left the his-own son and the bishops
μεθ' ἱκανοῦ στρατεύματος, εἰπὼν ὡς „ἀναπαύσασθαι
with sufficient army having-said that to-rest
χρεὼν ὑμᾶς ἐνταυθοῖ, ἄχρι δὴ τὰς παρειμένας κνήμας
it-is-needful you here until indeed the relaxed shins
καὶ τὰ παραλελυμένα γόνατα ἐκ τοῦ παρίστασθαι τῷ
and the paralyzed knees from the standing-by to-the
βασιλεῖ Γραικῶν ἀναρρωσθείητε."
emperor of-Greeks you-may-be-strengthened

In spring the oaths are renewed with hostages, and five hundred swear in Hagia Sophia; judges of the Velum named as hostages hide, and their property is seized and later restored. Isaac sends four centenaria of silver and gold-woven silks, and from Kallioupolis the army crosses in four days. At Philadelphia the townsmen attack and are thrown back; at Laodikeia the Germans are welcomed, and Frederick prays for the city, saying that had the Romans treated them so they would have passed long ago. The Turks harass them despite their oaths, and Frederick defeats the sultan's sons, who had deposed their father, at Philomelion, which he burns, and at Giglarion, where a feigned flight draws the Turks into his camp to their death.

Ἐπεὶ δ' ὁ χειμὼν παρῆλθε καὶ τὰ ἄνθη ἔδωκεν ὀσμήν,
when and the winter passed and the flowers gave scent
ἀνανεοῦται τοὺς ὅρκους ὅ τε βασιλεὺς καὶ ὁ ῥήξ,
renew the oaths the both emperor and the king
καὶ τοῦ μὲν ὀμωμόκεσαν οἱ τοπάρχαι καὶ μεγιστᾶνες
and of-him indeed had-sworn the toparchs and magnates
παρελεύσεσθαι τὸν ῥῆγα διὰ τῆς Ῥωμαϊκῆς γῆς καὶ μὴ
to-pass the king through the Roman land and not
δι' ἀγρῶν ἢ ἀμπελώνων διελεύσεσθαι, ὁδῷ βασιλικῇ
through fields or vineyards to-pass-through by-(the)-road imperial
πορεύσεσθαι, οὐδ' ἐκκλινεῖν δεξιὰ ἢ ἀριστερά, ἕως τὰ τῶν
to-go nor to-turn-aside right or left until the of-the
Ῥωμαίων παρελεύσεται ὅρια. βασιλεὺς δὲ δέδωκεν ὁμήρους
Romans he-shall-pass borders (the)-emperor and gave (as)-hostages
τινὰς τῶν ἐξ αἵματος. ὡρκώθησαν δὲ καὶ ἔνδον τοῦ
some of-the(-men) of (his)-blood were-sworn and also inside the
μεγίστου νεὼ ἀπὸ τῶν ἀγοραίων καὶ τῆς βασιλείου αὐλῆς
greatest temple from the market-folk and of-the imperial court
πεντακόσιοι, ὡς ὁ βασιλεὺς ἀπαραβάτους τὰς συνθήκας
five-hundred that the emperor inviolate the covenants

φυλάξει καὶ χορηγήσει τοῖς Ἀλαμανοῖς ἡγεμόνας ὁδοῦ καὶ
will-keep and will-supply to-the Alamans leaders of-(the)-road and
ἐφόδια. τότε καὶ τῶν κριτῶν τοῦ Βήλου τινὲς εἰς τὸν ῥῆγα
provisions then also of-the judges — of-Velum some to the king
κατὰ λόγον ὁμήρων στελλόμενοι οὐχ ὑπήκουσαν, καὶ μὴ
as (a)-word of-hostages being-sent not obeyed and not
ἔχοντες ἀντιπίπτειν βασιλεῖ καὶ καθῆσθαι οἴκαδε ἀδεῶς
being-able to-resist (the)-emperor and to-sit at-home without-fear
γωνίαις ἀλλοτρίων δόμων ἑαυτοὺς ἐντύμβευσαν μέχρι τῆς
in-corners of-others' houses themselves entombed until the
εἰς ἕω τοῦ ῥηγὸς διαβάσεως. βασιλεὺς δὲ χολωθεὶς
to (the)-east of-the king crossing (the)-emperor and angered
ἀντὶ μὲν τῶν κριτῶν τοῦ Βήλου ταβελλίονας ἀπέστειλεν
instead indeed of-the judges — of-Velum notaries sent
ὄψιδας, τὰς δὲ τῶν μὴ πεισθέντων κτήσεις τε καὶ
(as)-hostages the and of-the(-ones) not persuaded possessions both and
οἰκήσεις οἷς ἡρεῖτο παρέσχετο, καὶ δικαστὰς ἑτέρους
houses to-whom he-chose provided and judges other
προυβάλετο. ὕστερον δὲ μὴ ἀπείθειαν ἀλλὰ δειλίαν εἶναι
put-forward later and not disobedience but cowardice to-be
οὐκ ἄλογον ἐπιγνοὺς τὸ πραχθέν, τῶν τε κτήσεων
not unreasonable having-recognized the(-thing) done of-the both possessions
κυρίους αὖθις πεποίηκε καὶ τῶν προτέρων ἠξιώκει
lords again he-made and of-the former had-deemed(-them)-worthy
τιμῶν. τῶν δὲ συμφωνιῶν πεπερασμένων βασιλεὺς μὲν
honors of-the and agreements finished (the)-emperor indeed
τῷ ῥηγὶ ἀργυρέων νομισμάτων στέλλει κεντηνάρια
to-the king of-silver coins sends centenaria
τέσσαρα καὶ περιφανῆ νήματα χρυσοϋφῆ, κἀκεῖνος ἄλλοις
four and conspicuous threads gold-woven and-he with-other
ἀντιδεξιοῦται τοῦτον δωρήμασι. κἀντεῦθεν πλοίων πλείστων
welcomes-in-return him gifts and-thence of-ships very-many

ἱππαγωγῶν ἀπενεχθέντων εἰς Καλλιούπολιν, ἐπεὶ καὶ
horse-transports having-been-brought to Kallioupolis since also
τοῦτο ἀλλήλοις συνέδοξεν ὥστε διαπλωΐσεσι δισσαῖς μετὰ
this to-one-another seemed so-that in-crossings two with
τοῦ παντὸς αὐτὸν διαπεραιωθῆναι στρατεύματος (ἐδεδίει
the whole he to-be-carried-across army he-feared
γὰρ μὴ παρασπονδήσαντες Ῥωμαῖοι τοῖς κατὰ βραχεῖς
for lest having-broken-the-truce (the)-Romans on-the(-ones) by few
διαπερῶσιν εἰς τὴν ἀντιπέραν ἐπίθωνται), οὕτως οὐχ
crossing to the opposite-shore might-attack thus not
ἡμέραις πλείοσι τῶν τεττάρων κατὰ τὴν ἕω γίνεται. ὡς
Choniates laments that a brother blinded a brother, a disgrace that made the Romans a scorn among the nations and taught some to distrust their own kin. Alexios puts on Isaac's robes and crown and is proclaimed by the army and part of the senate. He scatters the money Isaac had brought for the campaign, then the revenues of estates, then dignities, raising the obscure to the highest rank, and signs any petition laid before him, even to plow the sea or set Athos on Olympos. He sends the armies home, careless of the Vlachs and Cumans, and travels slowly to the city, where his wife Euphrosyne prepares his entry. A mob proclaims the astrologer Alexios Kontostephanos in Hagia Sophia, but Euphrosyne's nobles scatter it and imprison him.

Καὶ τόνδε μὲν τὸν τρόπον ὁ Ἄγγελος Ἰσαάκιος
and this indeed the manner — Angelos Isaac
τῆς ἀρχῆς καταστρέφεται καὶ τὸν δυνάστην εὐχερῶς
from-the rule is-overthrown and the ruler readily

ἀποζώννυται, προσπαθῶν φωτὸς στέρησιν, ὑφ᾽ ὧν ὡς
ungirds suffering of-light deprivation by those-whom as
παρ᾽ οἰκείων ὀφθαλμῶν χειραγώγησιν ἐφαντάζετο. τί
by own eyes (a)-leading-by-the-hand he-imagined what
γὰρ ἀδελφοῦ, καὶ τούτου φιλουμένου, ἐγγύτερον ἄλλο
for than-(a)-brother and this(-one) loved nearer other
καὶ γνησιώτερον; εἰ δὲ τὸ ὕδωρ πνίγει, τί καὶ πιώμεθα
and more-genuine if and the water chokes what also shall-we-drink
ἄνθρωποι; καὶ εἰ καθ᾽ ἑαυτῶν τὰ μέλη ὁπλίζεται, τίνι
(we)-men and if against themselves the limbs arm with-what
ἂν συναρμολογηθέντες ζησώμεθα; καὶ ἡ μὲν φιλάνθρωπος
— *fitted-together shall-we-live and the indeed humane*
τέχνη ἐξ ἀντιθέτων σαρκῶν ἀντίδοτον συνεκεράσατο
art from opposite fleshes (an)-antidote compounded
σώζουσαν, ἔνιοι δὲ τῶν τῆς φύσεως σεμνῶν δώρων
saving some and of-the of-the nature solemn gifts
ἐπιλαθόμενοι ἐπανέστησάν τε ἀλλήλοις, καὶ ὅπερ εἰσίν,
having-forgotten rose-up both against-one-another and what they-are
ἠγνοήκασι μοχθηρίᾳ γνώμης καὶ δόξης ἔρωτι μείζονος. ἦν
ignored by-wickedness of-mind and by-love of-glory greater was
τοίνυν παρ᾽ ἔθνεσι καὶ τοῦτο Ῥωμαίων εἰς ἐξουθένημα,
therefore among nations also this of-(the)-Romans for scorn
παρακολούθημά τε καὶ ἐπισύμβαμά τι λελόγιστο
(a)-consequence both and (an)-accident something had-been-reckoned
τῶν προηγησαμένων ἁπάντων αἴσχιον ἐπὶ ταῖς τῶν
than-the preceding all more-shameful at the of-the
πραγμάτων μεταπεττεύσεσι καὶ ταῖς τῶν κρατούντων
affairs moves and at-the of-the rulers
μεταθέσεσί τε καὶ ἀλλοιώσεσιν. ἦσαν δ᾽ οἳ καὶ
changes both and alterations there-were and (those)-who also
τῆς ἐς τοὺς πέλας φιλίας ἀφιστάμενοι ἀπολυόμενοί τε
from-the toward the neighbors friendship standing-away loosing both

τὴν πάλαι συνήθειαν „ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται
the old intimacy (a)-brother not ransoms will-ransom
ἄνθρωπος;" ἔλεγον. καὶ οἷς τὰ μυστηριώδη τῶν
(a)-man they-said and to-whom the secret(-things) of-the
βουλευμάτων τινὲς ἀπεκάλυπτον, τούτων τηνικαῦτα καὶ
plans some revealed of-these then also
τὴν προσηγορίαν ὡς ἐπίβουλον ὑπεβλέποντο, πρὸς
the address as treacherous they-suspected for
παράδειγμα τὸ γεγονὸς ἀφορῶντες. αὐτὸς δὲ ὁ τῆς
example the(-thing) having-happened looking-to himself and the of-the
ἀρχῆς ἐπιβήτωρ Ἀλέξιος, μὴ ἐν νῷ βαλλόμενος ὡς ἑαυτὸν
rule usurper Alexios not in mind casting that himself
καθῄρηκε τῆς ἀρχῆς τὸν ἀδελφὸν καθελών, ὡς τὸν
he-deposed from-the rule the brother having-deposed as the
βασιλικὸν αὐτίκα θρόνον ἐπὶ τῷ θερμῷ τούτῳ ἀνεπήδησεν
imperial at-once throne at the hot this he-leapt-upon
ἀνομήματι, καὶ τοὺς ἱματισμοὺς καὶ τὸ στέφος διφήσας τοῦ
lawlessness and the garments and the crown having-sought of-the
κασιγνήτου καὶ περιθέμενος ὑπὸ παντὸς τοῦ στρατιωτικοῦ
brother and having-put-on by all the military
τάγματος, καὶ ὅσοι μέρος ἦσαν τῆς γερουσίας, βασιλεὺς
unit and as-many-as part were of-the senate emperor
αὐτοκράτωρ ἀναγορεύεται. καὶ τῇ μὲν γυναικὶ καὶ
autocrat is-proclaimed and to-the indeed wife and
τοῖς ἐν τῇ πόλει καθήκουσι δῆλα τὰ ξυνενεχθέντα
to-the(-ones) in the city belonging plain the(-things) having-happened
παραχρῆμα ποιεῖ· αὐτὸς δὲ τοὺς συναραμένους αὐτῷ
at-once makes himself and the(-ones) having-helped him
τῆς ἀρχῆς δεξιούμενος τῆς τε σπουδῆς ἀμειβόμενος, καὶ
to-the rule welcoming for-the both zeal rewarding and
τὸ λοιπὸν ἅπαν πλῆθος θεραπεύων ὅτι τε ἀσμένως
the rest whole multitude courting because both gladly

προσεχώρησε καὶ οὐδέν τι διεστασίασεν, ἤρξατο μὴ σὺν
it-went-over and nothing at-all raised-faction began not with
λόγῳ καὶ τάξει τινὶ ἀλλὰ πρὸς τὴν ἑκάστου αἴτησίν τε
reason and order any but to the of-each request both
καὶ ἔφεσιν διαδιδόναι τὰ χρήματα, ὁπόσα ἐκστρατεύων
and desire to-distribute the money as-much-as campaigning
ἐπήγετο Ἰσαάκιος. τούτων δ' ὑπορευσάντων τῇ ἀσώτῳ
brought Isaac of-these and having-run-short at-the prodigal
καὶ ἀνομοίῳ διανομῇ γήδια καρποφόρα καὶ δημοσίους
and unequal distribution plots fruit-bearing and public
συνεισφορὰς παρεῖχε τοῖς αἰτουμένοις. ὡς δ' ἐπιλελοίπει
contributions he-provided to-the(-ones) asking as and had-failed
καὶ ταῦτα, τοῖς τῶν ἀξιωμάτων ἐπεφύη λαμπροῖς, καὶ νῦν
also these to-the of-the dignities he-fell-upon brilliant(-ones) and now
κἀπὶ τούτοις ἐξαίρων οὐ τόνδε ἢ τόνδε τῶν ἐλλογίμων, ἢ
also-at these exalting not this(-one) or that(-one) of-the notable or
ἀνάγων εἰς τὸν προσεχῆ βαθμὸν καὶ ἀνάλογον, ἀλλὰ πάντα,
bringing-up to the next step and proportionate but all
καὶ τὸν βραχέος τιμώμενον τὴν τιμὴν καὶ τὸν οὐδέ
also the(-one) by-little honored in-the honor and the(-one) not-even
ποτε τῆς πρώτης ἠξιωμένον βαθμῖδος, ἐπὶ τὴν ἀνωτάτω καὶ
ever of-the first deemed-worthy step to the highest and
κορυφαίαν μετεωρίζων ἀνεβίβαζεν, ὡς εἶναι τὸ πολύτιμον
topmost raising brought-up so-that to-be the much-honored
ἄτιμον καὶ τὸ φιλότιμον ἄχαρι. πολλοὶ δὲ καὶ ὑποβιβασμὸν
dishonored and the honor-loving graceless many and also (a)-lowering
τὴν ἄνοδον ᾤοντο, ὡς ὀψέ ποτε δικαίως ἠξιωμένοι
the ascent thought as late at-last justly deemed-worthy
ὧν ἄλλοι παρ' ἀξίαν προηυμοιρήκεισαν, κἀκείνοις τὴν
of-what others beyond desert had-first-obtained and-with-those the
αὐτὴν τιμὴν συγκληρούμενοι ὧν ἠξιωμένων τιμῆς αὐτοὶ
same honor sharing of-whom deemed-worthy of-honor themselves

παραβλεπόμενοι ἄδοξοι ἐκρίθησαν τιμηέστεροι. ἦν δὲ καὶ
overlooked inglorious were-judged more-honored was and also
ἡ κτῆσις πρόχειρος· ὃν γάρ τις προσήνεγκε χάρτην
the acquisition at-hand what for anyone brought paper
τῷ βασιλεῖ, αὐτίκα ὑπεσημαίνετο, κἂν σολοίκως εἶχε
to-the emperor at-once was-signed even-if ungrammatically it-had
τῆς φράσεως, κἂν ὁ προτείνων ἐδεῖτο ναυτίλλεσθαι
of-the phrasing even-if the(-one) proposing asked to-sail
μὲν τὴν ξηρὰν ἀροῦσθαι δὲ τὴν θάλασσαν ἢ τὰ ὄρη
indeed the dry(-land) to-plow and the sea or the mountains
ἐν καρδίαις θαλασσῶν μετατίθεσθαι, εἴτε μήν, ὡς ὁ
in (the)-hearts of-(the)-seas to-be-moved or indeed as the
μῦθος βούλεται, Ὀλύμπῳ Ἄθων ἐπανατίθεσθαι. οὕτω δὲ
myth wishes on-Olympos Athos to-be-set-on thus and
ταῦτα πάντα τετελεκὼς ἢ μᾶλλον συντετελεκώς,
these(-things) all having-accomplished or rather having-finished-off
οἰκειότερον εἰπεῖν, ὡς χαρίζεσθαι τῷ καιρῷ καὶ τοῖς
more-properly to-say as gratifying to-the time and to-the
πράγμασι βιαζόμενος διαφήσιν ἔπειτα τὰ στρατεύματα
affairs forced lets then the armies
εἰς ἤθη τὰ οἰκεῖα ἐπανελθεῖν, μηδένα θέμενος λόγον
to haunts the own to-return no making account
εἰ τὰ ἐν ποσὶν οἱ Βλάχοι ληΐζονται μετὰ Σκυθῶν
if the(-things) at feet the Vlachs plunder with Scythians
ἐπιόντες. καὶ αὐτὸς μὲν οὐκ εὐθὺς ῥυτῆρι παντὶ τῆς
attacking and himself indeed not at-once with-rein full the(-road)
εἰς τὴν πόλιν ἥψατο, ἀλλ᾽ ὡς τοῦ ἀδελφοῦ συσχεθέντος
to the city took but as the brother seized
καὶ πηρωθέντος μηδένα ὑφορώμενος κίνδυνον, βάδην καὶ
and maimed no suspecting danger at-a-walk and
τοῖς σταθμοῖς ἐμβραδύνων ἐπορεύετο. ἤδη γὰρ καὶ τὸ
at-the stages lingering he-went already for also the

τῆς πολιτείας αὐτὸν ἀνευφήμησε πλήρωμα, καὶ πρὸς τῆς
of-the citizenry him acclaimed fullness and by the
γυναικὸς Εὐφροσύνης ἡ τούτου προητοίμαστο εἴσοδος, τό
wife Euphrosyne the his had-been-prepared entry the
τε τῆς συγκλήτου μέρος, εἰ καὶ μὴ ἅπαν, ἱλαρῶς ὅσα
both of-the senate part if also not all cheerfully as-many-as
οἱ ξυνενήνεκται ἤνεγκε, καὶ τῶν ἐκ τοῦ δήμου πρὸς
to-him happened bore and of-the(-ones) from the people at
τὴν ἀκοὴν τῶν ἠγγελμένων οὐδέν τις ἀτάσθαλον
the hearing of-the(-things) reported nothing anyone reckless
ἐνεόχμωσεν, ἀλλ᾽ ἠρέμησαν μὲν πάντες καὶ συνεπευδόκησαν
innovated but were-quiet indeed all and approved
τοῖς ἀκουσθεῖσι, μήτε βατταρίσαντες μήτε ἀναφλεγέντες
the(-things) heard neither stammering nor inflamed
πρὸς δικαίαν ὀργὴν οἷς εἰωθὸς αὐτοῖς βασιλέα
to just wrath for-whom (it-was)-customary for-them (an)-emperor
χειροτονεῖν ὑπὸ τῶν στρατοπέδων καὶ τοῦτο ἀφῄρηνται.
to-elect by the camps also this they-have-been-deprived
ἐπεὶ δὲ πρὸς τὸ μέγιστον ἀρχεῖον ἡ δούκαινα Εὐφροσύνη
when and to the greatest palace — Doukaina Euphrosyne
ἄρασα ἤλαυνε, τότε δὴ τῶν βαναύσων καὶ ξυγκλύδων
having-set-out drove then indeed of-the vulgar and riffraff
τινὲς φιλοτάραχοι φατρίαν κροτήσαντες καὶ σύστρεμμα
some trouble-loving (a)-faction having-raised and conspiracy
ποιησάμενοί τινα Κοντοστέφανον ὀνόματι Ἀλέξιον, ἐς τὸ
having-made (a)-certain Kontostephanos by-name Alexios into the
μέγιστον ξυλλεγέντες τέμενος, ἀναγορεύουσιν αὐτοκράτορα,
greatest having-gathered precinct proclaim autocrat
ἀστροθεάμονα ὄντα καὶ πάλαι τῇ βασιλείᾳ ἐνεδρεύοντα,
star-gazer being and long-ago for-the empire lying-in-wait
οὐκέτι λέγοντες θέλειν ὑπὸ Κομνηνῶν βασιλεύεσθαι
no-longer saying to-wish by (the)-Komnenoi to-be-ruled

γεγενημένων αὐτοῖς εἰς πλησμονήν. τῆς δὲ βασιλίσσης
having-become to-them to satiety of-the and empress
Εὐφροσύνης ἐπικινδύνως οὕτως τὸ μέγα παλάτιον εἰσιούσης,
Euphrosyne dangerously thus the great palace entering
ἔνιοι τῶν ἀπ᾽ εὐσήμου γένους ἐφεπόμενοι ἐκείνῃ κατὰ
some of-the(-ones) from notable race following her against
τοῦ Κοντοστεφάνου ὥρμησαν τολμηρότερον μᾶλλον ἢ
— Kontostephanos rushed more-boldly rather than
συνετώτερον, καὶ τὸ χυδαῖζον στῖφος τῆς πόλεως αὐτίκα
more-intelligently and the vulgar band of-the city at-once
διασκεδάννυται, καὶ ὁ Κοντοστέφανος συλληφθεὶς φρουρᾷ
is-scattered and — Kontostephanos seized to-prison
παραδίδοται.
is-handed-over

II · THE CORONATION

A sacristan begins the acclamation in the church, and the patriarch, after a show of resistance, yields. The nobles crowd to Euphrosyne and bow their heads to her slipper, and she charms the simple Byzantines with affable answers. Alexios enters bloodlessly, receives visitors on a golden bed at the outer Philopation, and is flattered by judges of the Velum, while some lament the robes Isaac had just had sewn for himself. In Hagia Sophia he writes the creed in the imperial ink and is crowned, but his Arabian horse refuses him and throws down the jeweled crown, which breaks, an omen of his fall. In the procession the sebastokrator John Doukas also loses his crown, baring his bald head, and laughs with the crowd.

τοῦ δὲ δημώδους πλήθους οὕτως ἠρεμηκότος, καὶ αὐτὸ
of-the and popular multitude thus having-been-quiet also itself
συναπτῶς τὸ τῆς ἐκκλησίας πλήρωμα τῇ νέᾳ τυραννίδι
jointly the of-the church fullness with-the new tyranny
συμβαίνει, καί τις τῶν νεωκόρων ὀλίγοις ὑποφθαρεὶς
agrees and some(-one) of-the sacristans by-few corrupted

κέρμασι (τοῦτο δὲ καὶ τῶν ἀγοραίων οἱ ταραχώδεις
coins this and also of-the market-folk the troublesome
πεπόνθασι καὶ βραχεῖς τῶν ἐκ τοῦ δικαστικοῦ
suffered and few of-the(-ones) from the judicial
τάγματος· τὰ δὲ ὀνόματα προφέρειν οὐ δύναμαι) τῆς τοῦ
order the and names to-bring-forward not I-can of-the —
Ἀλεξίου εὐφημίας κατάρχεται εἰς τὸν ἱερὸν ἀνάσταθμον
of-Alexios acclamation begins to the holy platform
ἀνιών, μὴ ἀναμείνας ἐκ τοῦ ἀρχιποίμενος τὸ ἐνδόσιμον.
going-up not having-awaited from the chief-shepherd the cue
ἀλλὰ καὶ οὗτος μικρόν τι ἐνστάς, καὶ ὅσον τὸν
but also this(-one) little something having-resisted and as-much-as the
μὴ αὐτόκλητον ὑπεμφῆναι, τὴν γνώμην εἰς τὸν ἄρξαντα
not self-called to-hint the mind to the(-one) having-ruled
μετέθηκε. καὶ τοῦ πατριάρχου τοίνυν ὑποχαυνωθέντος οὐδεὶς
changed and the patriarch therefore having-been-relaxed nobody
ἦν ἐκ τούτου γνωσιμαχῶν, ἀλλὰ πάντες τὸ μέγιστον
was from this changing-his-mind but all the greatest
ἀρχεῖον καταλαμβάνοντες ηὐτομόλουν ἀτεχνῶς τῇ βασιλίδι
palace reaching deserted simply to-the empress
ὡς ἀνδράποδα, καὶ πρὶν ἰδέσθαι τὸν τυραννήσαντα ἢ
as slaves and before to-see the(-one) having-usurped or
γνῶναι ἀκριβῶς ὁποῖα τὰ ξυνενεχθέντα τῷ πρώην
to-know exactly what-kind the(-things) having-happened to-the former
ἄνακτι, τῇ τοῦ λεγομένου βασιλεῦσαι καθυπέκυπτον
lord to-the of-the(-one) said to-have-reigned bowed
γυναικί, καὶ ὑπετίθουν ὡς θρανίδας τὰς κεφαλάς, καὶ
wife and put-under as benches the heads and
τὴν ῥῖνα τῇ ἐμβάδι δίκην προσκνιζομένων κυνιδίων
the nose on-the slipper like fawning puppies
ἐνήρειδον, καὶ περιδεεῖ παρίσταντο τῷ σχήματι, τὼ πόδε
pressed and very-fearful stood-by in-the posture the two-feet

συνάπτοντες καὶ τὼ χεῖρε συμβάλλοντες. καὶ οἱ μὲν
joining and the two-hands putting-together and they indeed
ἀβέλτεροι οὕτως ἐξ ἀκοῆς ἀνασσόμενοι, ἡ δὲ βασιλὶς
stupid thus by hearing being-ruled the and empress
χρῆμά τι οὖσα ποικίλον καὶ πράγμασιν εὐμεθάρμοστον
thing something being varied and to-affairs easily-adapted
προσφυεῖς ταῖς πεύσεσι τὰς ἀποκρίσεις ἐμέριζε, καὶ
fitting to-the questions the answers she-dealt and
τοὺς εὐήθεις διέχεε Βυζαντίους ἐν οἷς ἐκώτιλλεν· οἱ
the simple melted Byzantines in what she-chattered they
δὲ ὡς ὗες αἱ τὰς γαστέρας καταψώμεναι ὑπτιάζουσιν,
and as sows which the bellies being-scratched lie-on-their-backs
ὑποκνώμενοι τὰ ὦτα τοῖς εὐπροσηγόροις ἀσπασμοῖς
being-tickled in-the ears by-the affable greetings
οὐδέν τι τῶν συμβεβηκότων ὑπὸ νέμεσιν ἔθεντο.
nothing at-all of-the(-things) having-happened under indignation put
καὶ τοιαύτη μὲν ἡ προεισόδιος ἑτοιμασία τοῦ βασιλέως
and such indeed the before-entry preparation of-the emperor
ἦν Ἀλεξίου, ἀναίμακτος πάντῃ καὶ μηδένα τῶν ὅλων ἐς
was Alexios bloodless wholly and nobody of-the all in
οὐσίαν ἀδικήσασα. εἴσεισι δὲ τὸ Βυζάντιον μεθ' ἡμέρας
property having-wronged enters and — Byzantium after days
τινὰς καὶ αὐτός, καὶ κλίνῃ χρυσοπάστῳ νεόλουτος
some also himself and on-(a)-bed gold-spangled newly-bathed
ἐνιζήσας κατὰ τὸ λεγόμενον ἔξω Φιλοπάτιον περιχαρῶς
having-sat at the called outer Philopation joyfully
καὶ ἀσμένως τοὺς ἐς αὐτὸν ἀφικνουμένους προσίετο,
and gladly the(-ones) to him coming admitted
μὴ καταπεπτωκὼς τὴν κατάστασιν τῆς ψυχῆς ἐξ ὧν
not having-fallen in-the condition of-the soul from what
εἰς τὸν ἀδελφὸν διεπράξατο. τινὲς δὲ τῶν τοῦ Βήλου
to the brother he-had-done some and of-the — of-Velum

κριτῶν μὴ εὐκαίρως τὸν καιρὸν κολακεύοντες βωμολόχους
judges not seasonably the season flattering buffoonish
ἐπαφῆκαν φωνάς, ἐν αἷς καὶ ὦφλον κατάγελων. ἦσαν
let-fly voices in which also they-incurred derision there-were
δ' οἳ καὶ ἐπεστέναξαν τοῖς δρωμένοις, καὶ τοὺς
and (those)-who also groaned at-the(-things) done and the
βασιλείους κόσμους κατωπτευκότες, οὓς ἑαυτῷ ὑπέρραψεν
imperial ornaments having-seen which for-himself stitched
Ἰσαάκιος, περιαμπίσχοντας ἄρτι τὸν ἐκείνου κασίγνητον
Isaac clothing just-now the his brother
ἐπωδύραντο, τὴν ἀτοπίαν ἐκπλαγέντες τοῦ πράγματος, καὶ
lamented the outrage astounded at-the affair and
τὴν τοιαύτην ἀλλοίωσιν τῆς ἀρχῆς ἀρχὴν προσφάτων
the such change of-the rule (a)-beginning of-fresh
οἰωνίζοντο συμφορῶν, τά τε Ὀσίριδος καὶ Τυφῶνος
they-augured misfortunes the(-things) both of-Osiris and of-Typhon
ἐβάλοντο κατὰ νοῦν, ὑφ' ὧν ἐκακοπράγησεν Αἴγυπτος.
cast in mind by which fared-ill Egypt
εἰσελθὼν δὲ τὸ τῆς θεοῦ σοφίας περίπυστον καὶ μέγιστον
having-entered and the — of-God wisdom famous and greatest
τέμενος, ὅπως κατὰ τὸ ἔθιμον ἐς βασιλέα χρισθῇ
precinct so-that according-to the custom as emperor be-might-be-anointed
καὶ περιβαλεῖται τὰ τοῦ κράτους σύμβολα, πρῶτα μὲν
and might-put-on the of-the power symbols first indeed
ὀψιαίτερον τὸ τῆς πίστεως ἐγγράφει σύμβολον βαφῇ τῇ
rather-late the of-the faith he-writes creed in-dye the
βασιλικῇ, ἔπειτα ταῖς ὡραίαις λεγομέναις τοῦ νεὼ πύλαις
imperial then at-the beautiful called of-the temple doors
ἐγγίσας ἱκανὸν ἐκεῖσε χρόνον διέτριψε, προσδεχόμενος
having-approached sufficient there time spent awaiting
πότε ἂν ἐπιταχθείη τὴν εἴσοδον παρὰ τῶν ἀκριβούντων
when — he-might-be-ordered the entry by the(-ones) exactly-reckoning

τὸ τῆς ὥρας καίριον τῶν ἱερῶν κατηχουμενείων
the of-the hour opportune(-moment) from-the holy catechumen-galleries
ἄνωθεν. ἐξιὼν δὲ τοῦ νεὼ καὶ μέλλων ἐπιβῆναι τοῦ
above going-out and from-the temple and about to-mount the
ὀχήματος, ὁ μὲν ἵππος (ἦν δὲ οὗτος φατνιστὸς καὶ
vehicle the indeed horse was and this(-one) stall-fed and
Ἀράβιος) προσάγεται παρὰ τοῦ πρωτοστράτορος ἀπὸ τοῦ
Arabian is-brought by the protostrator by the
χαλινοῦ ἑλκυσθείς, γίνεται δέ τι τῶν ἀήθων καὶ
bridle drawn happens and something of-the unaccustomed and
ἀξίων θαύματος. οὐ προσίεται ὁ ἵππος τὸν ἀναβάτην,
worthy of-wonder not admits the horse the rider
ἀλλὰ φριμάσσων ὕφαιμος τὸ ὄμμα καὶ τὸ οὖς μετέωρος
but snorting bloodshot in-the eye and in-the ear raised
καὶ συχνὰ κόπτων τὸ δάπεδον καὶ τὰς ἐμπροσθίους
and often striking the ground and the front
ἀναβάλλων ὁπλὰς καὶ ῥύδην φερόμενος αὐτὸν ἀπεστρέφετο,
throwing-up hooves and violently borne him turned-from
ἀδοξῶν ὥσπερ ἐπὶ τῶν νώτων ὀχεῖν καὶ κατ᾽ αὐτοῦ
disdaining as-it-were on the back to-carry and against him
ἀγριούμενος. πολλάκις οὖν πρὸς τὸ ἱππεύειν γενόμενον
growing-savage often then for the riding having-come
τὸν Ἀλέξιον ἀπεκρούσατο, τὰς ἐμπροσθίους ἐνσείων χηλὰς
— Alexios it-repelled the front shaking hooves
καὶ τὰς ὄψεις ἐπιστρέφων ὀπίσω. ὡς δέ ποτε μετὰ
and the eyes turning back as and once after
πλεῖστα περιποππύσματα καὶ διομαλίσεις τοῦ αὐχένος
very-many smackings-of-the-lips and smoothings of-the neck
ἔδοξεν ἠρεμήσειν καὶ παύσασθαι τῶν ἀγερώχων
it-seemed to-be-going-to-be-quiet and to-stop from-the haughty
ἐκείνων ἑλίξεων καὶ τῆς τῶν ποδῶν ἀερώσεως, ὁ μὲν
those wheelings and from-the of-the feet raising-in-the-air the indeed

βασιλεὺς ἐπ᾽ αὐτὸν ἀνεπήδησε καὶ τῶν ἡνίων ἐλάβετο, ὁ
emperor onto it leapt and the reins took it
δὲ ὥσπερ ἠπατημένος, καὶ δεξάμενος ἀναβάτην ὃν οὐκ
and as-if deceived and having-received (a)-rider whom not
ἤθελεν, ἠτάκτει τε ὡς πρώην καὶ τοὺς πόδας ἀνίστη μετ᾽
it-wished was-disorderly both as before and the feet raised with
ἐξακούστων τῶν χρεμετίσεων· οὐδ᾽ ἔληξεν ἐκβακχευόμενος
loud the neighings nor ceased raving
οὕτως, ἕως τὸ μὲν λιθόστρωτον στέφος ἐκ τῆς κεφαλῆς
thus until the indeed jeweled crown from the head
τοῦ βασιλέως εἰς γῆν κατήνεγκεν, ὡς καὶ τοῦτον
of-the emperor to (the)-ground it-brought-down so-that also it
διαθραυσθῆναι μέρη τινά, αὐτὸν δ᾽ ἀπεσφαίρισεν. ἵππου
to-be-broken (in)-parts some him and it-bowled-off (a)-horse
τοίνυν ἑτέρου προσενεχθέντος, οὐχὶ μεθ᾽ ὑγιοῦς ἐποπτεύετο
therefore other having-been-brought not with whole was-seen
στεφανώματος, ὃ καὶ μὴ αἴσιον τῶν ἐσομένων ἔδοξε
crown which also not auspicious of-the(-things) going-to-be seemed
σύμβολον· μηδὲ γὰρ ἂν ἀδιαλώβητόν οἱ συντηρηθῆναι
(a)-sign not-even for — unmaimed for-him to-be-preserved
τὴν βασιλείαν, ἀλλὰ τοῦ ὕψους ἀποπεσεῖν καὶ προσπαθεῖν
the empire but from-the height to-fall and to-suffer
αὐτὸν ἀπὸ τῶν ἐναντίων κακῶς. συνεπόμπευον δὲ τῷ
him from the opponents badly paraded-with and with-the
βασιλεῖ τῷδε ἔφιπποι καὶ οἱ δύο ἐπὶ θυγατράσι τούτῳ
emperor this on-horseback also the two for daughters to-him
γαμβροὶ ὁ Κοντοστέφανος Ἀνδρόνικος καὶ ὁ Κομνηνὸς
sons-in-law — Kontostephanos Andronikos and — Komnenos
Ἰσαάκιος, καὶ ὁ πρὸς πατρὸς ἐκείνῳ θεῖος Ἰωάννης
Isaac and the on (the)-father's(-side) to-him uncle John
ὁ Δούκας, πεπαίτερος ὢν τὴν ἡλικίαν, ᾧ καὶ κατὰ
the Doukas older being in-the age to-whom also in

τὴν πομπαίαν ἐκείνην πρόοδον συνέβη τι τοιοῦτον
the processional that procession happened something such
παράλογον· μὴ γάρ τινος διαταράξαντος τὴν κόλουρον
unreasonable not for anyone having-disturbed the docked
ἡμίονον ᾗ ἔποχος ἦν, τὸν σεβαστοκρατορικὸν
mule on-which mounted he-was the sebastokratorial
ἀπεβάλετο στέφανον ἀνατραπέντα τῆς κορυφῆς καὶ
he-lost crown overturned from-the crown(-of-the-head) and
αὐτομάτως καταπεσόντα εἰς ἔδαφος. πρὸς ὅπερ οἱ μὲν
of-its-own-accord fallen to (the)-ground at which the indeed
θεώμενοι ἐξεβόησαν καὶ εἰς γέλων διεκινήθησαν, τὴν
watching cried-out and into laughter were-moved the
ἐγκρυφιαζομένην τῷ στεφάνῳ πρότερον φαλάκραν ὡς
hidden by-the crown before baldness as
πλησίφωτον σελήνην τότε κατωπτευκότες· ὁ δὲ Δούκας
(a)-full moon then having-seen — and Doukas
τὴν ἀνάγκην μετατιθεὶς εἰς τὸ εὔχαρι καὶ μείλιχον, ἄλλως
the necessity changing into the graceful and gentle besides
τε κἂν τοῖς ἀβουλήτοις μὴ ἑτοίμως χολούμενος, ἔφερεν
— even-in the unwelcome(-things) not readily being-angered bore
ὡς σύμμικτον ἡδονῇ παιδιὰν τὴν τῶν πλείστων ἐπὶ
as mixed with-pleasure (a)-game the of-the most at
τῷ γεγονότι διάχυσιν, γεγηθὼς ἐν μέρει καὶ αὐτὸς καὶ
the having-happened merriment rejoicing in turn also himself and
μηδαμῶς τὸν ἀγανακτοῦντα ὑποκρινόμενος.
in-no-way the indignant(-man) playing

Alexios drops the name Angelos for Komnenos and lets the rudder go, giving away Isaac's treasure. Euphrosyne, manly, eloquent, and brazen, rules as his equal, overturning his decisions, sitting enthroned beside him before embassies, and holding her own audiences. A man from Cilicia claiming to be Manuel's son Alexios is received by the Turkish ruler of Ankyra; the emperor marches out and buys the sultan's peace with five centenaria of silver and a yearly gift of silver and silks, while the townsmen of the forts, siding with neither, praise the pretender's fiery hair to the emperor. The pretender is slain at night at Tzoungra. Isaac Komnenos, the former tyrant of Cyprus, freed from captivity, writes to the magnates of Asia and seeks the sultan's help, and dies, it was said, by a poisoned cup brought by a man the emperor had bribed.

Ὁ δὲ βασιλεὺς τὴν ἀγγελωνυμίαν παρωσάμενος Κομνηνὸς
the and emperor the Angelos-name having-pushed-aside Komnenos
ἐπελέγετο, εἴτε τὸ ἐπώνυμον ἀδοξῶν οἷα ὑφιζάνον πρὸς
was-called whether the surname disdaining as sinking-below toward
τὸ Κομνηνικὸν κλέϊσμα, εἴτε συναφαντῶν τῷ ὁμαίμονι
the Komnenian glory or making-vanish-with with-the brother
καὶ τὴν ἐκείνου ἐπίκλησιν. ἁπάντων δ' οἰομένων μετὰ
also the his name all and thinking after
τὴν ἀναγόρευσιν αὐτίκα καὶ τὴν τῶν πραγμάτων ἠρέμησιν
the proclamation at-once also the of-the affairs quieting
ὁπλιτεύοντα φανῆναι καὶ θυραυλοῦντα τὸν Ἀλέξιον, καὶ
armed to-appear and camping-out — Alexios and
οὐχ ὅπως ἀντιστήσεται τοῖς ἐν χερσὶ δυσχερέσιν, ἀλλὰ
not only will-resist the at hand difficulties but
καὶ τὰ πρότερον ἡμαρτημένα πρὸς τοῦ κασιγνήτου
also the(-things) before sinned by the brother
μὴ ἄν ποτε ἀνασχέσθαι παροφθῆναί οἱ ὁπωσοῦν
not — ever to-endure to-be-overlooked for-him in-any-way

ἀδιόρθωτα, καὶ μάλισθ' ὅσα κακῶς ὑπὸ βαρβάρων
uncorrected and especially as-many-as badly by barbarians
ἔπαθον μὴ τὸν ἀνθιστάμενον ἔχοντα μηδὲ τὸν ὁτεδὴ
they-suffered not the(-one) resisting having nor the(-one) at-all
παθηνάμενον, ὁ δὲ πρὸς ἅπαν τοὐναντίον μεθήρμοστο,
grieving he and to all the-opposite had-been-changed
καὶ ὡς τὸ ἀκρότατον ἤδη τῶν ἐφετῶν εἰληφὼς καὶ
and as the very-top already of-the desirable(-things) having-taken and
πρὸς ὃ πάλαι τὸ πᾶν ἐπέτεινε πρόθυμον πεφθακώς,
toward which long-ago the whole he-strained eagerness having-attained
ἀνέπεσε στεφηφορήσας, ὡς εἴπερ οὐκ ἐπιστασίαν ἔννομον
relaxed having-worn-the-crown as if not (a)-presidency lawful
ἀνθρώπων ἀλλ' εὐπορίαν χλιδῆς καὶ ἀνέσεως παροχὴν τὴν
of-men but (an)-abundance of-luxury and of-ease (a)-provision the
βασιλείαν ᾤετο. οὐκοῦν καὶ τὴν τῶν κοινῶν διοίκησιν
empire he-thought therefore also the of-the common(-affairs) administration
παρεικώς, ὡς τὸ πηδάλιον ὁ κυβερνήτης ὃς ἀπείρηκε
having-let-go as the rudder the helmsman who has-given-up
πρὸς τὰ κύματα, χρυσοφορῶν ἦν καὶ τὴν ἀκοὴν ὅλην
against the waves wearing-gold he-was also the hearing whole
ἀναπετανν\ὺς καὶ πᾶσαν ἔντευξιν χαριζόμενος τοῖς ἐκ
throwing-open and every audience granting to-the(-ones) from
τῆς μερίδος τῶν συνεφαψαμένων αὐτῷ τῆς ἀρχῆς, καὶ
the party of-the(-ones) having-laid-hold-with him of-the rule and
ἀφειδῶς ἀμφοτέραις ἀπήντλει τὰ χρήματα ἅπερ συνέλεξεν
unsparingly with-both(-hands) bailed-out the money which collected
Ἰσαάκιος, οὔτε τὴν ἐργώδη τούτων εἰσέπειτα συναγωγὴν
Isaac neither the laborious of-these afterward gathering
σκοπούμενος οὐδὲ τὴν διακενῆς ἀπόκτησιν εὐλαβούμενος.
considering nor the in-vain getting-rid-of being-wary
τῷ τοι διαφορηθέντων δίκην ἀχυρμιᾶς καὶ κατὰ θερινὴν
for surely having-been-scattered like chaff and like summer

κόνιν ἐσκεδασμένων ταχέως πρὸς ἀργὰς γαστέρας ἃς οὐδ'
dust having-been-dispersed quickly to idle bellies which not
ἦν ἐπιστάμενος, ὁ τῇ φιλοδωρίᾳ προσκείμενος εἰκῇ
was knowing the to-the generosity devoted at-random
αὐτοκράτωρ ἑαυτὸν τῆς ἀσωτίας ἐμέμφετο ὕστερον, ἡνίκα
autocrat himself for-the prodigality blamed later when
χρημάτων ἐχάτιζεν. ἦν δὲ καὶ ἡ τοῦ βασιλέως τοῦδε
of-money he-lacked was and also the of-the emperor this
ἄκοιτις τὸ μὲν φρόνημα καὶ λίαν ἀνδρώδης καὶ γλῶτταν
wife in-the indeed spirit both very manly and (a)-tongue
αὐτοφυῶς αὐχοῦσα σοφιστικήν, χάρισι διηνθισμένην
naturally boasting sophistical with-graces flowered
καὶ περιθεομένην γλυκύτητι, καὶ προγνῶναι τὸ μέλλον
and run-round with-sweetness and to-foreknow the future
ἱκανωτάτη καὶ τὸ ἐνεστὸς ἀρίστως διοικήσειν ἐπισταμένη,
most-able and the present excellently to-manage knowing
τὰ δ' ἄλλα κακὸν διωλύγιον, οὗ φημι τὰς κομμώσεις
the(-things) and other (an)-evil far-resounding not I-mean the adornings
καὶ βασιλείας καθηδυπάθησιν, καὶ τὸ ἰσχύειν ὑπὲρ τὸν
and of-empire luxuriating and the to-be-strong beyond the
ὁμευνέτην εὐροίᾳ φύσεως μετενεγκεῖν τὰ καθεστῶτα καὶ
bedfellow by-fluency of-nature to-change the established(-things) and
μὴ ὄντα ἐπεξευρεῖν (ταῦτα γὰρ οὐ διὰ λόγου τῇ
not being to-invent these(-things) for not through account in-the
ἱστορίᾳ, κἂν εἶεν γυναιξὶν οὐχ ἁρμόδια, καὶ βασιλίσσαις
history even-if they-be for-women not fitting and for-empresses
οἱαισδὴ προσεγένετο), ἀλλ' ὅτι τὸ κάλυμμα τῆς αἰδοῦς
whatever happened but that the veil of-the shame
ἀτιμάσασα ἑλκίζετο καὶ διεσυρίττετο καὶ εἰς ὄνειδος ἦν
having-dishonored she-was-dragged and was-hissed and into reproach was
τῷ ταύτην ἁρμοσαμένῳ. ὁ δὲ τὰ μὲν πρῶτα εἰδέναι
to-the(-one) her having-married he and the indeed first to-know

τὰ ἀτοπούμενα παρὰ πᾶσιν ἐκρίνετο, τοῖς δ'
the(-things) outrageously-done by all was-judged to-the(-ones) and
ἀγνοοῦσι σχηματίζεσθαι· ἐξ ὧν δ' ὕστερον διεπεπράχει,
not-knowing to-pretend from what and later he-did
ὅτε τὰ κατὰ τὴν σύνοικον γεγόνασιν ἔκπυστα, σαφῶς
when the(-things) about the wife became notorious clearly
ὑπέδειξεν ὡς οὐδὲν τῶν τολμωμένων ἠπίστατο.
he-showed that nothing of-the(-things) dared he-knew
δηλώσει δὲ ταῦτα τὸ λέγειν κατὰ τὸν οἰκεῖον καιρόν.
will-show and these(-things) the telling in the own time
τῆς τοίνυν βασιλίδος τοὺς ὅρους ὑπερβαινούσης καὶ τὰ
of-the therefore empress the bounds overstepping and the
ταῖς πρὶν Αὐγούσταις Ῥωμαίων ἔθιμα ἀδοξούσης, εἰς δύο
for-the former Augustae of-(the)-Romans customs disdaining into two
ἀτεχνῶς ἀρχὰς ἡ βασιλεία διῄρητο· οὐ γὰρ ὁ κρατῶν
simply rules the empire was-divided not for the(-one) ruling
μόνον ὁπόσα ᾔρειτο διεκελεύετο, ἀλλὰ ταυτοδυνάμως
only as-many-as he-chose ordered but with-equal-power
τούτῳ κἀκείνη τὰ πρὸς βουλῆς διεπράττετο, ἐν
to-him also-she the(-things) by plan did in
πολλοῖς δὲ καὶ ἀνέλυε πρὸς τὸ θυμῆρες αὐτῇ μεταμείβουσα
many and also undid to the pleasing to-her changing
ἅπερ ἐδέδοκτο βασιλεῖ. ἀλλὰ καὶ πρεσβείας μεγίστης
what had-been-decided by-(the)-emperor but also (an)-embassy greatest
ἐθνῶν μελλούσης βασιλεῖ ἐποπτάνεσθαι, θρόνοι συμφυῶς
of-nations being-about to-(the)-emperor to-be-seen thrones side-by-side
πολυτελεῖς παρετίθεντο, καὶ συνεδρεύουσα προεκάθητο
costly were-set and sitting-with she-presided
λαμπρῶς διεσκευασμένη, λίθοις τε καὶ μαργάροις
splendidly arrayed with-stones both and pearls
διαφανέσι τὸ τυμπάνιον ἀναδέουσα καὶ τὸν τράχηλον
transparent the headdress binding and the neck

ὁρμίσκοις πολυτίμοις διαλαμβάνουσα. ἐνίοτε δὲ κατ᾽ ἄλλας
with-necklaces very-costly encircling sometimes and in other
βασιλείους οἰκοδομὰς διιστάμενοι, καὶ ἀνὰ μέρος ἀμφότεροι
imperial buildings standing-apart and by turn both
προφαινόμενοι, εἰς ἑαυτὸν ἐμέριζον τὸ ὑπήκοον· ὃ
appearing into themselves divided the subject(-people) which
καὶ πρώτως ἀπονεῖμαν βασιλεῖ προσκύνησιν, ἐκεῖθεν
also first having-rendered to-(the)-emperor obeisance thence
ἀπαῖρον πρὸς τὴν βασιλίδα μετεπορεύετο καὶ βαθυτέραν
setting-out to the empress went and deeper
αὐτῇ παρεῖχε τοῦ γόνατος σύγκαμψιν. οὐ βραχεῖς δὲ
to-her provided of-the knee bending not few and
καὶ τῶν καθ᾽ αἷμα βασιλεῖ ἐγγιζόντων, καὶ οἷς
also of-the(-ones) by blood to-(the)-emperor near and to-whom
τὰ ὑπερήφανα τῶν ὀφφικίων ἀνέκειντο, τοὺς ὤμους ὡς
the arrogant of-the offices were-assigned the shoulders as
θρανίδας ὑποβάλλοντες ἐπὶ τῶν λαμπρῶν καὶ μετεώρων
benches putting-under onto the brilliant and lofty
θώκων τὴν βασιλίδα ἀνέφερον.
seats the empress lifted
Ἀλλ᾽ οὔπω μῆνες τρεῖς παριππεύκεισαν, καὶ φήμη
but not-yet months three had-ridden-by and rumor
τις πρόεισιν ἀψευδὴς ἐκ Κιλίκων τινὰ ὁρμώμενον
some goes-forth unfalse from Cilicians some(-one) setting-out
Ἀλέξιον τοὔνομα, τῷ τοῦ βασιλέως Ἀλεξίου ὀνόματι
Alexios by-name on-the of-the emperor Alexios name
ἐποχούμενον ὃν ὁ βασιλεὺς ἐγείνατο Μανουήλ, τῷ
riding whom the emperor begot Manuel to-the
τῆς πόλεως Ἀγκύρας σατραπεύοντι προσρυῆναι καὶ ὑπ᾽
of-the city Ankyra satrap to-have-fled and by
αὐτοῦ προσδεχθῆναι ὡς υἱὸν ἀληθῆ τοῦ αὐτοκράτορος
him to-have-been-received as son true of-the autocrat

Μανουήλ, οὐχ ὅπως περατώσειεν αὐτῷ τὰ κατ᾽
Manuel not that he-might-accomplish for-him the(-things) by
ἔφεσιν (ᾔδει γὰρ κἀκεῖνος ὡς ὁ βασιλεὺς Ἀλέξιος
desire he-knew for also-he that the emperor Alexios
διὰ πνιγμονῆς ὑπ᾽ Ἀνδρονίκου τὸν βίον κατέστρεψεν),
through strangling by Andronikos the life ended
ἀλλ᾽ ἵν᾽ ὁ βασιλεύων Ῥωμαίων συνδιαπλέκοιτο
but that the(-one) reigning over-(the)-Romans might-be-entangled
πράγμασι τοῖς στασιασταῖς ἀντικαθιστάμενος, καὶ αὐτὸς
in-affairs the seditious opposing and himself
ἐντεῦθεν παρακερδαίνῃ τι, χρημάτων ὤνιον τὴν μετὰ
thence might-gain-besides something of-money for-sale the with
Ῥωμαίων φιλίαν κτώμενος. ἐπεὶ δὲ εἰς ἔργον ταῦτα
(the)-Romans friendship acquiring when and into deed these
δὴ τὰ ἀγγέλματα ἐκβεβήκει, καὶ ὁ ψευδώνυμος οὗτος
indeed the messages had-gone-out and the falsely-named this
Ἀλέξιος τοῖς ὁμόροις τῇ Ἀγκύρᾳ Ῥωμαϊκοῖς πολίσμασιν
Alexios on-the bordering — to-Ankyra Roman towns
ἐπεφύετο ἐνισχυόμενος παρὰ τοῦ Πέρσου καὶ κρατυνόμενος,
fell-upon strengthened by the Persian and made-strong
στέλλεταί τις ἐκτομίας ᾧ τοὐπίκλην Ἠονοπολίτης,
is-sent some eunuch to-whom the-surname Eonopolites
ἄρτι πρὸς βασιλέως παρακοιμώμενος τιμηθείς. μηδέν τι
just-now by (the)-emperor parakoimomenos honored nothing at-all
δὲ τοῦ θλαδίου κατορθοῦντος πρὸς τὴν ὑπόθεσιν δεῖν
and the eunuch accomplishing for the matter to-be-needful
ἔγνω καὶ αὐτὸς ὁ βασιλεὺς ἐξελθεῖν, ἐν τῷ μέρει δὲ καὶ
resolved also himself the emperor to-go-out in the turn and also
τῶν μετὰ τοῦ Πέρσου σπονδῶν ἐπιμεληθῆναι, εἰδὼς ὡς
of-the with the Persian treaties to-take-care knowing that
οὕτω μάλιστα ῥᾳδίως καταγωνίσεται τὸν ὀνόματι ἑτέρου,
thus most easily he-will-defeat the in-(the)-name of-another

καὶ τούτου πάλαι τεθνεῶτος, ἐπερχόμενον αὐτῷ ἀντίπαλον.
and this(-one) long-ago dead coming-against him opponent
πλὴν ὁ Πέρσης τῷ καιρῷ καταχρώμενος οὐκ ἄλλως
however the Persian the time abusing not otherwise
τὴν εἰρήνην ἐδέχετο, εἰ μὴ αὐτίκα δωρήσεταί οἱ βασιλεὺς
the peace received if not at-once will-give him (the)-emperor
ἀργυρίου κεντηνάρια πέντε κεκομμένα εἰς νόμισμα, ἐτησίως
of-silver centenaria five struck into coin yearly
δ' ἔκτοτε τρισὶν ἐκ τούτων φιλοτιμεῖται καὶ Σηρικοῖς
and thenceforth with-three of these he-presents and with-silk
τεσσαράκοντα νήμασιν, ἅπερ ἐκ Θηβῶν ἑπταπύλων
forty threads which from Thebes seven-gated
βασιλεῖ κεχορήγηται. ἀφικόμενος οὖν κατὰ τὸ πόλισμα
to-(the)-emperor are-supplied having-arrived then at the town
τὰ Μελάγγεια πρὸς τῶν ἐκεῖσε βασιλεὺς αὐτοκράτωρ
— Melangeia by the(-men) there emperor autocrat
ἀναγορεύεται, πλὴν οὐχὶ καὶ γενναίαν τὴν κατὰ τοῦ
is-proclaimed however not also noble the against the
ἀντιστάτου Ἀλεξίου σύναρσιν εὗρισκεν, ἀλλ' ὡς βασιλεῖ
opponent Alexios help he-found but as to-(the)-emperor
Ῥωμαίων αὐτῷ προσανέχοντες οὐδὲ τὸν Ψευδαλέξιον
of-(the)-Romans to-him attaching nor — Pseudo-Alexios
ἐκεῖνον φιλοφροσύνης εἴων ἐκτός, τούτῳ τε κἀκείνῳ
that from-kindness they-let(-be) outside to-this(-one) both and-to-that(-one)
τὰ βλέμματα χαριζόμενοι πρὸς ἑκατέρους ταῖς γνώμαις
the looks granting to both in-the minds
ἔρρεπον, μηδαμῶς ἐμφαίνοντες ὅτῳ προσρέπουσιν
they-inclined in-no-way showing to-which they-incline
ἀτεχνῶς· ὅθεν παντὶ τῷ βουλομένῳ παρεῖχον κατανοεῖν
simply whence to-every the(-one) wishing they-granted to-perceive
ὡς ἀμφίρροποι ὄντες οὐδετέρῳ μὲν ἐκ τοῦ αὐτίκα
that two-sided being to-neither indeed from the at-once

προσκείσονται, κατὰ δὲ καιρὸν τῷ νικῶντι προσθήσονται.
will-attach-themselves in and time to-the conqueror will-attach-themselves
ἀλλὰ κἂν ταῖς πρὸς βασιλέα ἐντεύξεσιν ὑπεξαίροντες τὸν
but even-in the with (the)-emperor audiences exalting —
Ἀλέξιον οὐδαμῶς ἔληγον. πολλάκις γοῦν ἔλεγον ὡς „καὶ
Alexios in-no-way they-ceased often at-any-rate they-said that also
σὺ ἀγάσαιο ἂν τὸν ἄνδρα, εἰ θεάσαιο, δέσποτα βασιλεῦ.
you would-admire — the man if you-should-behold lord emperor
οὕτω πυρσαῖς καὶ ἐκτενέσι κόμαις ἠγλάϊσται ὡς εἰ χρυσίου
so with-fiery and long hair he-is-adorned as if of-gold
ἦσαν ἀπορρινήματα. οὕτως ἐστὶν εὐῆλιξ, οὕτως ἱππότης
they-were filings so is of-fine-age so (a)-horseman
ἀκράδαντος ὡς εἴπερ τῇ ἐφεστρίδι ἐμπεπερόνητο.” πρὸς
unshaken as if to-the saddle-cloth he-had-been-pinned to
δὲ ταῦτα τοῦ βασιλέως ἀνθυπενεγκόντος ποτὲ ὡς ὁ
and these(-things) the emperor having-objected once that the
τοῦ αὐτοκράτορος υἱὸς Μανουὴλ πάλαι ἀπεβίω θανάτῳ
of-the autocrat son Manuel long-ago died by-(the)-death
ᾧ δὴ πρὸς Ἀνδρονίκου καταδεδίκαστο, ὁ δὲ νῦν
to-which indeed by Andronikos he-had-been-condemned the and now
προσιὼν οὗτος πλάνος ἐστὶ καὶ τοῦ τῶν Κομνηνῶν
approaching this(-one) (an)-impostor is and of-the of-the (the)-Komnenoi
γένους ἀλλότριος, εἰ δ’ ἐκεῖνον δοίη τις ζῆν καὶ
race (a)-stranger if and that(-one) should-grant anyone to-live and
τοῦτον εἶναι τὸν ἐπιόντα, ἀλλ’ αὐτὸς ἄρχειν δήπουθεν
this(-one) to-be the(-one) coming but himself to-rule surely
δικαιότερος ὁ καὶ τὰ Ῥωμαίων σκῆπτρα χειρίζων
more-rightful who also the of-(the)-Romans scepters handles
νυνί, ἐπελάβοντο τῶν λόγων οἱ ἀκροώμενοι, καὶ ἀπ’
now took-hold-of the words the(-ones) listening and from
αὐτῶν πορισάμενοι τὴν ἀντίθεσιν „ὁρᾷς” ἔλεγον, „βασιλεῦ,
them having-procured the objection you-see they-said emperor

ὡς ἄρ᾽ ἀμφιγνοεῖς καὶ σὺ περὶ τοῦ παιδός, καὶ τὸν
that then are-in-doubt also you about the child and the
ἐκείνου θάνατον ἀμφήριστον ἤγησαι; μὴ οὖν χαλέπαινε
his death disputed have-thought not then be-angry
τοῖς τὸν νεανίαν οἰκτείρουσιν ἐκ μὲν τριγονίας
with-the(-ones) the youth pitying from indeed third-generation
τὴν βασιλείαν ἐς αὐτὸν καταβαίνουσαν ἔχοντα, ἀρχῆς
the empire to him coming-down having of-rule
δ᾽ ὁμοῦ καὶ πατρίδος παρὰ δίκην ἀποπλαζόμενον."
and together and of-fatherland against justice wandering-away
ἰδὼν τοίνυν ὁ βασιλεὺς ὡς οὐδὲν ὠφελεῖ, καὶ τὴν
having-seen therefore the emperor that nothing it-profits and the
αὐτὸς αὐτοῦ παρουσίαν ἐπ᾽ οὐδενὶ κερδαλέῳ κατανοῶν
himself his-own presence for nothing gainful perceiving
γίνεσθαι, τὰ φρούρια παρελθών, καὶ ἃ μὲν τούτων
to-be the forts having-passed and some indeed of-these
ἀποστήσας τοῦ Ἀλεξίου, ἃ δὲ πυρὶ παραδούς, ὡς
having-detached — from-Alexios others and to-fire having-handed-over as
τῷ ἀντάρτη προσρέποντα, ἐπανόδου ἐμνήσατο, δυσὶ
to-the rebel inclining of-return remembered with-two
τὴν ἐκστρατείαν περιγράψας μησὶ καὶ τὰ κατὰ τὸν
the campaign having-limited months and the(-things) about the
Κίλικα Ἀλέξιον ἐπιτρέψας τῷ Καντακουζηνῷ Μανουήλ.
Cilician Alexios having-entrusted — to-Kantakouzenos Manuel
πλὴν οὐδ᾽ οὗτος ἐξήνεγκε πόλεμον κατ᾽ αὐτοῦ προφανῆ,
however not-even this(-one) carried war against him open
καίπερ ἐμπλατυνομένου ἀεὶ τῇ ἐπικουρίᾳ τοῦ Πέρσου,
although spreading always with-the help of-the Persian
καὶ τῶν περὶ τὴν Ἄγκυραν φρουρίων φορολογοῦντος τὰ
and of-the about — Ankyra forts levying the
πάντα ἢ τὰ πλείονα. ἦν δ᾽ ἂν καὶ οὗτος ἐπὶ
all or the most would-have-been and — also this(-one) for

μακρὸν ἀμήχανον Ῥωμαίοις κακόν, εἰ μὴ θεὸς κἀνταῦθα
long (an)-irremediable to-(the)-Romans evil if not God also-here
φανεὶς καινουργὸς τὰ Ῥωμαίων ᾤκτειρε πράγματα·
having-appeared (as)-innovator the of-(the)-Romans pitied affairs
τὸ γὰρ φρούριον εἰσιὼν ὃ Τζούγγρα κατονομάζεται,
the for fort entering which Tzoungra is-named
νυκτὸς ἀποσφάττεται μαχαίρᾳ παρά τινος. οὕτω μὲν οὖν
by-night is-slaughtered with-(a)-sword by someone thus indeed then
καὶ οὗτος ἠφάντωται, κατὰ τάχος ἀστραπῆς διαΐξας
also this(-one) has-vanished at (the)-speed of-lightning having-darted
καὶ πάλιν ἀποκρυβείς, ἢ γοῦν ὡς ἐκ Κιλικίου
and again having-been-hidden or at-any-rate as from (a)-Cilician
Κωρυκίου πνεῦμα βίαιον διεκπνεύσας καὶ μέρος τῆς
Korykian wind violent having-blown-through and (a)-part of-the(-land)
ὑπὸ Ῥωμαίους διακυκήσας, μετὰ βραχὺ διεκφυσηθεὶς
under (the)-Romans having-stirred-up after (a)-little having-blown-itself-out
ἐπαύσατο τῆς σφοδρότητος.
ceased from-the violence
Ἐπὶ δὲ τῷ κακῷ τούτῳ παρὰ πόδας ἕτερον ἐπεισέφρησε
upon and the evil this at (the)-feet another burst-in
χείριστον, ἢ μᾶλλον δόξαν πρὸς καιρὸν ὑπορρεῦσαι
worst or rather having-seemed for (a)-time to-have-flowed-away
πάλιν ἀνέβλαστε κατὰ κώνειον φθοροποιόν, ὁ Κομνηνὸς
again sprouted like hemlock destructive — Komnenos
οὗτος Ἰσαάκιος, ὃς ἐν τοῖς ἔμπροσθεν βιβλίοις ἐρρέθη
this(-man) Isaac who in the former books was-said
μοι ὅτι ἐγκρατὴς ἅμα καὶ ὀλετὴρ τῆς τῶν Κυπρίων
by-me that master at-once and destroyer of-the of-the Cypriots
νήσου γενόμενος ἑάλω μὲν πρὸς τοῦ ῥηγὸς Ἰγγλινίας
island having-become was-taken indeed by the king of-England
ἐς Παλαιστίνην ἀφικνουμένου διαποντίου, καὶ ὡς δοῦλος
to Palestine arriving overseas and as (a)-slave

μαστιγίας τινὶ τῶν ὁμοφύλων ἐκείνῳ ἀποκεχάριστο. καὶ
fit-for-the-whip to-someone of-the kinsmen to-him had-been-given and
ἦν ἁπανταχῇ διαδόσιμος ὡς κατέστρεψε τὸν βίον κακῶς ὁ
was everywhere spread-about that ended the life badly the
κακός· φήμῃ δ', ὡς δέδεικται ὕστερον, μόνῃ ἀποβιούς, καὶ
bad(-man) by-rumor and as has-been-shown later alone having-died and
δεσμῶν ἀπαλλαγεὶς καὶ φρουρᾶς ἀπολυθείς, ὡς μὴ ὤφελε,
from-bonds released and from-prison freed as not he-ought
τὸν παλαιὸν ἀναθάλπει τῆς τυραννίδος ἔρωτα. ἀνεκαλεῖτο
the old rekindles of-the tyranny love was-recalled
μὲν οὖν πρὸς τοῦ βασιλέως Ἀλεξίου διὰ γραμμάτων
indeed then by the emperor Alexios through letters
συχνῶν, ἐναγούσης αὐτὸν εἰς τοῦτο τῆς βασιλίδος
frequent urging him to this the empress
Εὐφροσύνης δι' ἣν ἐκ συγγενείας ἐγγύτητα εἶχεν
Euphrosyne because-of which from kinship nearness had
αὕτη πρὸς Ἰσαάκιον. ὁ δὲ ἀπεδυσπέτει καὶ πρὸς μόνην
she to Isaac he and was-reluctant and at only
ἠγανάκτει τῶν ἐπιστελλομένων ἐνήχησιν, βασιλεύειν, οὐ
was-indignant of-the(-things) written (the)-sound to-reign not
μὴν βασιλεύεσθαι λέγων εἰδέναι, καὶ ἄλλων ἐξηγεῖσθαι, μὴ
indeed to-be-ruled saying to-know and others to-lead not
γοῦν ἑτέροις πείθεσθαι. συχνὰ τοίνυν γράμματα συνετίθει
at-any-rate others to-obey frequent therefore letters he-composed
πρὸς τοὺς τῆς Ἀσιάτιδος γῆς πρωτεύοντας, τί μὲν τῶν
to the of-the Asian land chief(-men) what indeed of-the
ἀπειρημένων οὐκ εἰσηγούμενα, τί δὲ τῶν καθεστώτων
forbidden(-things) not proposing what and of-the established(-things)
οὐχὶ κινοῦντα, καὶ πάντα τοῖς πειθομένοις βραβεύοντα,
not moving and all(-things) to-the(-ones) obeying awarding
εἴ πως τοῦ τῆς βασιλείας ὀνόματος ἐπιτεύξεται. ἀλλὰ
if somehow the of-the empire name he-will-attain but

καὶ πρώην διώκων ἦν τὰ ἀκίχητα, καὶ ἃ μὴ
also formerly pursuing he-was the unattainable(-things) and what not
θεὸς βεβούλευται, διακενῆς μηχανώμενος· καὶ τότε ὁμοίως
God has-planned in-vain contriving and then likewise
ἠλέγχετο μάτην διατεχνώμενος τὰ ἀνήνυτα. οὔτε γὰρ
was-refuted in-vain devising the impossible(-things) neither for
αὐτῷ προσέσχεν ὁ Πέρσης ὥσπερ ἱμείρετο (ἐγλίχετο δὲ
to-him attended the Persian as he-longed longed and
μεθ' ὅλης τῆς οἰκείας ἰσχύος ἕπεσθαί οἱ κατὰ Ῥωμαίων
with whole the own strength to-follow him against (the)-Romans
στρατεύοντι, καὶ πάνθ' ὁπόσα ἐπιτάττειν ἔχει ποιεῖν),
campaigning and all as-many-as to-order he-is-able to-do
οὔτε οἷς ἐπέστελλε κρύβδην οὖς τις ὑπέσχετο
nor (those)-to-whom he-wrote secretly (an)-ear anyone held-out
εὔεικτον, ἀλλὰ πάντες ὡς ἀσπίδες οἷς ἐπῇδε τὰς
yielding but all as asps to-whom he-chanted the
ἀκοὰς ἐπέφραττον. τίς γὰρ ἂν θηρίῳ κατηκολούθησεν
hearings blocked who for — (a)-beast would-have-followed
αἱμοβόρῳ, μετ' οὐ πολὺ ταῖς ὄψεσιν ἐμπηδήσοντί τε καὶ
bloodthirsty after not long on-the eyes going-to-leap both and
ἀναιρήσοντι; ἢ μετ' ὄφεως ἰοβόλου φιλίαν συνέθετο, κἂν
going-to-kill or with (a)-snake venomous friendship made even-if
προσπλέκοιτό τις αὐτῷ, τὸν ἰὸν ἐξεμοῦντος θανάσιμον,
should-embrace anyone it the venom vomiting deadly
κἂν ἐν κόλπῳ διαθάλπῃ, ὀλέθρια δάκνοντος; πλὴν
even-if in (the)-bosom he-warm(-it) deadly biting however
ἀλλὰ καὶ οὗτος κατὰ θεῖον ἐξέρρηξε μετὰ βραχὺ τὸ
but also this(-one) by divine(-will) burst-out after (a)-little the
ψυχίδιον, καὶ τοῖς λοιποῖς προσετέθη τυράννοις οὓς χεὶρ
little-soul and to-the other was-added tyrants whom (the)-hand
κυρίου ἠφάνισε, κἂν οὐκ εἴωθεν ἀμέσως ποιεῖν ἃ
of-(the)-Lord made-vanish even-if not it-is-wont immediately to-do what

καινοποιεῖ πολλάκις σωτήρια. ἦδετο δὲ μηδὲ φυσικῷ
it-innovates often saving it-was-sung and not-even by-natural
θανάτῳ δαμῆναι τὸν ἀλιτήριον, ἀλλὰ φαρμάκῳ
death to-have-been-subdued the wretch but by-poison
ἀπολωλέναι κυλικοφορηθέντι παρά τινος μεγάλοις δώροις
to-have-perished cup-carried by someone with-great gifts
ἐπιρρωσθέντος πρὸς τοὔργον ὑπὸ τοῦ βασιλέως αὐτοῦ.
strengthened for the-deed by the emperor himself

IV · ASAN AND THE SEBASTOKRATOR ISAAC

Alexios' envoys to Peter and Asan fail, and the Vlachs defeat the Roman force about Serrai, capturing Alexios Aspietes and taking many forts. The emperor sends his son-in-law, the sebastokrator Isaac. Answering the Vlachs, who urge caution because the new emperor is said to be warlike, Asan tells them not to fear the rumor of his valor: rumor must be tried by the eye, Alexios has never fought, and the threads on his spear, spun from one stuff by one weaver, differ only in color, as do the brothers Isaac and Alexios. Isaac, young and rash, leads out his army at a gallop for thirty stades, tiring horse and foot, charges into Asan's ambush, loses many men, and is taken alive by a Cuman, who hides him in hope of ransom until Asan finds him.

Ἐπὶ πᾶσι δ' οἷς Ἀλέξιος ἐπειράσατο βασιλεύσας, εἴ πως
upon all and what Alexios tried having-reigned if somehow
σπείσαιτο Βλάχοις, καὶ πρέσβεις πέπομφε πρὸς τὸν
he-might-make-a-treaty with-Vlachs and envoys sent to —
Πέτρον καὶ τὸν Ἀσάν. ἐπέρανε δ' οὐδ' ὅλως τὴν εἰρήνην
Peter and — Asan accomplished and not-even at-all the peace
καὶ τὰς σπονδάς, οἷα τῶν ἀνδρῶν τούτων ὑπερόγκους τὰς
and the treaties as of-the men these excessive the
ἀποκρίσεις ποιησαμένων, κἀκεῖνα προσθεμένων ὑπὲρ
answers having-made and-those(-things) having-added for

εἰρήνης ἃ Ῥωμαίοις ἀδύνατά τε καὶ ἄτιμα δήπουθεν
peace which for-(the)-Romans impossible both and dishonorable surely
ἦν. ἀμέλει τοι τοῦ βασιλέως κατὰ τὴν ἕω διατρίβοντος
were indeed surely the emperor in the east staying
προσβάλλουσι τοῖς περὶ τὰς Σέρρας Βουλγαρικοῖς θέμασι,
they-attack the about — Serrai Bulgarian themes
καὶ τὸ αὐλιζόμενον ἐκεῖσε Ῥωμαϊκὸν σύνταγμα ἡττηκότες
and the encamped there Roman body having-defeated
ἄλλους τε πλείστους κακῶς εἰργάσαντο, καὶ δὴ καὶ
others both very-many badly treated and indeed also
αὐτὸν εἷλον ζωγρίαν τὸν Ἀσπιέτην Ἀλέξιον, ὃς ἀρχηγεῖν
himself took alive — Aspietes Alexios who to-command
Ῥωμαίοις προυβέβλητο. κρατοῦσι δὲ καὶ πολλῶν ἐκ
(the)-Romans had-been-appointed they-master and also many of
τῶν ἐκεῖθι φρουρίων, καὶ αὐτὰ μὲν εἰς τὸ ἐπικρατὲς
the there forts and them indeed into the stronger
ἠσφαλίσαντο, αὐτοὶ δ' ἐπανῆκον οἴκαδε λείαν ἐληλακότες
they-secured themselves and returned home booty having-driven
οὐ σταθμητήν. βασιλεὺς δὲ μὴ καὶ μετέπειτα τοιοῦτόν τι
not to-be-weighed (the)-emperor and lest also afterward such anything
διαπραχθείη προμηθούμενος, μεθ' ἱκανῆς ἐξέπεμψε στρατιᾶς
might-be-done taking-forethought with sufficient sent-out army
τὸν ἑαυτοῦ γαμβρὸν Ἰσαάκιον τὸν σεβαστοκράτορα, ὅτε
the his-own son-in-law Isaac the sebastokrator when
δὴ καὶ Ἀσὰν πρὸς τοὺς εἰσάγοντας παραίνεσιν Βλάχους
indeed also Asan to the introducing advice Vlachs
μηκέτι τὰς κατὰ Ῥωμαίων ἐπελεύσεις μετὰ θερμότητος
no-longer the against (the)-Romans attacks with heat
τίθεσθαι, μεμνῆσθαι δὲ καὶ μεθόδων στρατηγικῶν ⟨ἄρχειν
to-make to-remember and also methods strategic to-rule
γάρ, ὡς πυνθάνονται, ἄνδρα πολεμικὸν καὶ λίαν τοῦ
for as they-learn (a)-man warlike and very than-the

ἀδελφοῦ προφερέστερον), μετὰ κόμπου ἀπεκρίνατο μὴ
brother superior with boasting answered not
δεῖν ἀεὶ ταῖς φήμαις ἐπικλίνειν τὸ οὖς, μήτε δ'
to-be-needful always to-the rumors to-incline the ear nor and
ὃν ἀνδρεῖον αὕτη διαθρυλεῖ, ὡς ἤδη καὶ τοιοῦτον
whom brave she noises-abroad as already also such
ὄντα τοῦτον κατεπτηχέναι, οὔθ' ὃν διέξεισι δειλὸν καὶ
being him to-have-cowered nor whom she-relates cowardly and
ἀνάλκιδα, πρὸ τῆς πείρας ἀθερίζειν καὶ ἀποπέμπεσθαι,
feeble before the trial to-despise and to-send-away
ἀλλὰ τὴν μὲν φήμην μὴ πάμπαν ἀποστρέφεσθαι, ὅτι
but the indeed rumor not wholly to-turn-from because
μηδ' ἐς ἅπαν ἀπόλλυται, καὶ μάλιστα ἣν πλεῖστοι λαοὶ
not-even in all she-perishes and especially which very-many peoples
φημίζουσιν, ἐπάγειν δ' ὡς λίθον Μάγνησσαν τὰς πράξεις
rumor to-apply and as (a)-stone Magnesian the deeds
τῶν ἐνδιαβαλλομένων εἴτε μὴν κροτουμένων παρ' αὐτῆς
of-the slandered or indeed applauded by her
ἀνδρῶν, ἐν πολλοῖς δὲ καὶ τὸν ὀφθαλμὸν ἱζάνειν τῶν
men in many and also the eye to-sit of-the(-things)
φημιζομένων δικαστήν, καὶ οὕτω προσίεσθαι τὴν φήμην ὡς
rumored (as)-judge and thus to-admit the rumor as
ἀληθῆ ἢ γοῦν μύροις ἀλείφειν ὡς ψευδῆ καὶ ἄλλοθί
true or at-any-rate with-perfumes to-anoint as false and elsewhere
που ἀφιέναι πέτεσθαι. „τὰ γὰρ ὦτα οὐκ οἶδε τὰ
somewhere to-let to-fly the for ears not know the(-things)
δρώμενα, ἀλλὰ γλώττης ὄχλον εἰσοικιζόμενα φύλακές εἰσιν
done but of-tongue (the)-crowd taking-in guards are
ἀλλοτρίων, καὶ τούτων ἐναντίων πολλάκις ἐνηχημάτων.
of-others' and these contrary often soundings
ἀσφαλὴς δέ ἐστι τῶν γινομένων διαιτητὴς ὀφθαλμός,
safe and is of-the(-things) happening (an)-arbiter (the)-eye

καὶ μάρτυς ὧν τεθέαται ἀπαραλόγιστος, οὐχ ἑτέρωθεν
and witness of-what it-has-seen undeceivable not from-elsewhere
εἰσχεομένην ἔχων τὴν πίστιν ὡς τὴν τῶν λεγομένων
poured-in having the faith as the of-the(-things) said
εἰς ἐνοίκησιν ἀκοήν. μὴ οὖν δὴ καὶ ὑμεῖς θροεῖσθε ὡς ὁ
for dwelling hearing not then indeed also you be-alarmed that the
νῦν Ῥωμαίων βασιλεύων γενναῖος ὑπὸ φήμης κηρύττεται,
now of-(the)-Romans reigning noble by rumor is-proclaimed
ἀλλ᾽ εἰ τοιοῦτός ἐστιν ὁποῖος ᾄδεται χρεὼν σκέψασθαι.
but if such he-is as he-is-sung (it-is)-needful to-consider
ὁδηγὸς δὲ ὑμῖν εἰς τοῦτο ἔστω βίος ὁ πρότερος, καὶ
guide and for-you to this let-be (the)-life the former and
καθηγητὴς ἀκριβὴς τοῦ ἀνδρὸς καθιστάσθω. ἀτὰρ εἰ
teacher exact of-the man let-be-set but if
φιλοκρινήσετε, οὐκ ἂν ἐφ᾽ ὁτιοῦν εὐδοκιμηκότα εἴσεσθε
you-will-judge-carefully not — at anything having-won-repute you-will-know
τουτονί· οὔτε γὰρ πολέμοις ὡμίλησε καὶ κινδύνοις ὑπὲρ
this(-one) neither for with-wars he-consorted and in-dangers for
Ῥωμαίων παρενεβλήθη συστρατευόμενος καὶ συγκάμνων
(the)-Romans was-thrown campaigning-with and toiling-with
τῷ ἀδελφῷ, ὅσα γε αὐτὸς ἴσημι κείρων ἀεὶ
the brother as-many-as at-least myself I-know ravaging always
καὶ κατατρέχων τὴν πολεμίαν καὶ νίκας ἐπὶ νίκαις
and overrunning the enemy(-land) and victories upon victories
ἀναιρούμενος καὶ τροπαίοις ἐπιστοιβάζων τὰ τρόπαια, οὔτε
taking-up and on-trophies heaping the trophies nor
μὴν μισθὸν καμάτων τὴν ἁλουργίδα καὶ τὸν βασίλειον
indeed (as)-wage of-toils the purple and the imperial
εἴληχε στέφανον, ἀλλ᾽ ὡς ἐκ τῶν ἔργων ὑπέδειξε, τύχης
obtained crown but as from the deeds he-showed of-fortune
ἀγνώμονος πέττευμα τὰ σκῆπτρα παρείληπται. οὗτος
unfeeling (a)-move-on-the-board the scepters have-been-received this(-one)

τοίνυν, ὃς οὐ τεθέαταί μοι μαχόμενος οὐδὲ φωνῇ καὶ
therefore who not has-been-seen by-me fighting nor by-voice and
χειρὶ καὶ βουλῇ τὰ Μυσῶν παραλυπήσας ἐνίοτε, ὅπως
hand and counsel the(-things) of-Mysians having-grieved sometimes how
ἐξαίφνης εἰς ἅπαν τοὐναντίον μεταπεποίηται, ἐγὼ μὲν οὐκ
suddenly into all the-opposite has-been-changed I indeed not
ἔχω καὶ συνιδεῖν. ἵνα δὲ καὶ δι' ὑποδείγματος, καθ'
am-able also to-see that and also through example in
ὅσον ἔξεστι, τὰ κατὰ τὸν ἄνδρα τουτονὶ καὶ τὸ
as-much-as it-is-possible the(-things) about the man this and the
λοιπὸν αὐτῷ γένος διασαφήσαιμι, ὁρᾶτε τὰ ἐπὶ τοῦ
rest his race I-may-make-clear see the(-things) on the
ἐμοῦ δόρατος ἀπαιωρούμενα καὶ ἀνεμούμενα διάφορα ταῖς
my spear hanging and wind-blown different in-the
χροιαῖς, εἰ καὶ μὴ ταῖς ὑφαῖς, νήματα. ταῦτα μιᾶς μὲν
colors if also not in-the weavings threads these of-one indeed
προελήλυθεν ὕλης, καὶ εἷς ὑφάντης αὐτὰ ἐμηρύσατο· τοῖς
have-come material and one weaver them spun by-the
δὲ χρώμασι διαλλάττοντα διεστάναι δοκοῦσι καὶ κατὰ
and colors differing to-stand-apart they-seem and in
τὸ τοῦ εἶναι ποιητικὸν αἴτιον. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ
the of-the to-be productive cause but not is this not
ἔστιν. Ἰσαάκιος οὖν καὶ Ἀλέξιος οἱ ὁμαίμονες, ὧν ὁ
is Isaac then and Alexios the brothers of-whom the
μὲν τῆς βασιλείας ἤδη καθῄρηται, ὁ δὲ τηβεννοφορεῖ
one from-the empire already has-been-deposed the other wears-the-toga
νῦν καὶ διαδεῖται ἀρχικῷ στεφανώματι, ἕνα τοκέα
now and is-bound with-imperial crown one parent
ἔσχον, τῆς αὐτῆς νηδύος ἐξώλισθον, κατὰ τὴν αὐτὴν
they-had from-the same womb they-slipped-out in the same
γεγένηνται γῆν, τὰ πάνθ' ὅμοια ἐκληρώσαντο, κἂν
they-have-been-born land the(-things) all alike they-were-allotted even-if

ἄτερος τούτων Ἀλέξιος τῷ χρόνῳ προήκων ἑώραται.
one of-these Alexios in-the time going-ahead is-seen
ὅθεν οὐδὲ κατὰ τοὺς πολέμους διαφέροιεν ἄν, ὡς ἔμοιγε
whence not-even in the wars they-would-differ — as to-me
γοῦν δοκεῖ καὶ ὡς ἐν πείρᾳ πάντες γνωσόμεθα. χρῆναι
at-any-rate it-seems and as in trial all we-shall-know to-be-needful
τοίνυν φημὶ μετὰ τῆς αὐτῆς καὶ προτέρας προθέσεως καὶ
therefore I-say with the same and former purpose also
πάλιν τῶν κατὰ πόλεμον ἅπτεσθαι, εἰδότας ὡς οἷς
again the(-things) of war to-touch knowing that to-whom
καὶ πρότερον ἐξ ἐναντίας μοίρας καὶ νῦν στησόμεθα,
also before from opposite part also now we-shall-stand
ἵνα μὴ καὶ χείροσιν εἴποιμι ἀφορῶν μὲν καὶ πρὸς
that not also with-worse I-might-say looking indeed also at
τὸ καταβεβλημένον καὶ ἀτονώτερον ἤδη φρόνημα τῶν
the cast-down and feebler already spirit of-the
Ῥωμαίων, οἳ πολλάκις ὑφ᾽ ἡμῶν τροπωθέντες οὐδ᾽
Romans who often by us routed not-even
ἅπαξ τὰ κατ᾽ αὐτοὺς ἀναλαβεῖν ἐσχήκασι πράγματα,
once the(-things) of them to-recover have-been-able affairs
ἐννοῶν δὲ καὶ ἣν θεόθεν ἐπεσπάσαντο οἵδε μῆνιν,
considering and also which from-God drew-on these(-men) wrath
τὸν αὐτοὺς βαρείας τυραννίδος ἀπηλλαχότα Ἰσαάκιον
the them from-heavy tyranny having-freed Isaac
βασιλείας ἐννόμου καθῃρηκότες· οἱ γὰρ οὕτω κατὰ
from-empire lawful having-deposed the(-ones) for thus against
τῶν σεσωκότων ὁπλισάμενοι οὐκ ἂν φθάνοιεν ὑπὸ
the(-ones) having-saved(-them) having-armed not — would-be-slow by
τῶν ἐχθρῶν ὡς παράσπονδοι ἀναιρούμενοι.” τοιαύταις
the enemies as treaty-breakers being-killed with-such
γνώμαις ὁ βάρβαρος τὰ τῶν ὑπ᾽ αὐτὸν ἀναστήσας
opinions the barbarian the of-the(-ones) under him having-raised

φρονήματα μετὰ κόμπου μείζονος ἐπῄει κατὰ τῶν περὶ
spirits with boasting greater attacked against the about
Στρυμόνα τε καὶ Ἀμφίπολιν ἐπαρχιῶν. ἐπεὶ δὲ καὶ ταῖς
Strymon both and Amphipolis provinces when and also —
Σέρραις ἐμβαλεῖν Ἰσαακίῳ ἤκουσται τῷ σεβαστοκράτορι,
into-Serrai to-have-invaded by-Isaac it-was-heard the sebastokrator
νέος ὢν οὗτος καὶ προσεχεῖ τινὶ τῶν Βλάχων ἐπαρθεὶς
young being this(-one) and by-recent some of-the Vlachs elated
πταίσματι, μὴ προεξετάσας τὴν τῶν πολεμίων δύναμιν,
slip not having-examined-first the of-the enemies force
τῇ δ' ἀκοῇ συνάψας τὴν κατ' αὐτῶν ἐξόρμησιν, ἀνίστησί
to-the and hearing having-joined the against them expedition raises
τε παραχρῆμα τὴν στρατιὰν τῆς σάλπιγγος ἐνδούσης τὸ
both at-once the army the trumpet having-given the
σύνθημα, καὶ τὸν πολεμιστήριον ἵππον πρῶτος ἀναβὰς
signal and the war horse first having-mounted
καὶ θωρακισάμενος κατ' ἐπειγωλήν, οὐχὶ βάδην, τὸ δόρυ
and having-armed-himself in haste not at-a-walk the spear
κατὰ τῶν ἀντιπάλων τιταίνων ἔξεισιν ὡς εἴπερ ἐλάφων
against the opponents stretching goes-out as if of-deer
αὐτῷ κυνηγέσιον προηυτρέπιστο ἢ θηρευτικὰ ἐκεῖ που
for-him (a)-hunt had-been-prepared or hunting there somewhere
ἀθύρματα προητοίμαστο. διελθὼν οὖν ἀνέτῳ ῥυτῆρι ὡσεὶ
sports had-been-made-ready having-gone then with-slack rein about
σταδίους τριάκοντα τό τε ἱππικὸν ἀποκναῖσαι πεποίηκεν,
stades thirty the both cavalry to-wear-out made
ὡς ἀχρεῖον εἶναι κατὰ τὴν ὥραν τῆς προσβολῆς,
so-that useless to-be in the hour of-the attack
καὶ τὸ πεζικὸν ἐκλυθὲν ἐς οὐδὲν γεγονέναι μετέπειτα
and the infantry exhausted for nothing to-have-become afterward
χρήσιμον. ὡς δὲ ἤγγισεν ἔνθα παρενέβαλε τὸ πολέμιον,
useful as and he-drew-near where had-encamped the enemy

τοῦ μὲν Ἀσὰν τὸ πλεῖστον καὶ κράτιστον στράτευμα
— *indeed of-Asan the most and strongest army*
εἰς ἐνέδρας καὶ λόχους διαμερίζεται, ὁ δ᾽ Ἰσαάκιος
into ambushes and companies is-divided — and Isaac
μὴ τὸ στρατήγημα τοῦτο καὶ τὸν δόλον κατανοήσας,
not the stratagem this and the trick having-perceived
ὡς ἡττήσων καὶ τροπωσόμενος βακχευτικῷ ἐπῆλθεν
as going-to-defeat and going-to-rout with-(a)-Bacchic attacked
ὁρμήματι· διὸ καὶ τῶν ἐν τοῖς λόχοις ἐπιθεμένων,
rush wherefore also of-the(-ones) in the ambushes having-attacked
ὡς ἐν μέσοις συσχεθεὶς ἄρκυσι, πολλοὺς μὲν ἀπέβαλε
as in (the)-middle caught by-nets many indeed he-lost
τῶν ἰδίων, τέλος δὲ καὶ αὐτὸς ἑάλω ζωγρίας ὑπὸ
of-the own at-(the)-end and also himself was-taken alive by
Σκυθῶν. ἐκ δὲ τούτων συμβέβηκεν ὡς ἐν κτήνεσι
Scythians from and these(-things) it-happened as among cattle
λέοντα πρός τε τὰς ἐπελεύσεις ἀδεεστάτως καὶ τὰς
(a)-lion to both the attacks most-fearlessly and the
προνομὰς τὸν βάρβαρον ἐφορμᾶν, οἷα μηδενὸς ἀντεξιόντος
forays the barbarian to-rush as nobody going-out-against
ἔτι ἐκ τῶν Ῥωμαίων, ἀλλὰ πάντων ἀποδειλιασάντων καὶ
still of the Romans but all having-played-the-coward and
τῇ πόλει ταῖς Σέρραις μετ᾽ ἀνέτων ἡνιῶν εἰσρυέντων,
into-the city — Serrai with slack reins having-flowed-in
ὅσοι τέως μὴ ξίφους ὤφθησαν πάρεργον ἐν τῇ
as-many-as meanwhile not of-(the)-sword were-seen side-work in the
συμβολῇ. ὁ δὲ συνειληφὼς τὸν σεβαστοκράτορα Σκύθης
engagement the and having-seized the sebastokrator Scythian
παντοίως αὐτὸν περιέκρυπτεν, ὡς εἴη ἀφώρατος
in-every-way him hid so-that he-might-be undiscovered
τῷ Ἀσάν, ὑποσαινόμενος ἐλπίσι μή τινων ἐνδεεστέραις,
— by-Asan fawned-on by-hopes not than-any less(-great)

ὡς εἰ τοὺς Βλάχους διελθὼν εἰς τὰ οἰκεῖα ἤθη
that if the Vlachs having-passed-through to the own haunts
τοῦτον ἀπενέγκαι, πλεῖστα ἂν αὐτῷ κατάθοιτο λύτρα
him he-should-carry-off very-great — to-him would-pay ransoms
ὁ βασιλεύς. τῆς δὲ φήμης κατειπούσης συλληφθῆναι τὸν
the emperor of-the and rumor having-reported to-have-been-seized the
στρατηλάτην, ἐπιμελοῦς γεγενημένης ἐρεύνης δῆλος γίνεται
general careful having-happened search plain becomes
καὶ τῷ Ἀσὰν ἐμφανίζεται.
also — to-Asan is-revealed

V · THE DEATH OF ASAN

A captive priest begs Asan for mercy and is refused, and foretells his death by the sword. Asan learns that his kinsman Ivanko is the lover of his wife's sister and summons him by night. On his family's advice Ivanko goes in with a long sword under his cloak, and when Asan draws on him, he strikes first and kills him. Ivanko seizes Ternovo, the strongest city of the Haimos, and holds it against Peter, hoping for help from the emperor. It is said the captive sebastokrator Isaac had urged the murder and promised Ivanko his daughter Theodora, but Isaac died in his bonds before the deed.

Καὶ τῇδε μὲν ἀπέβη ταῦτα· τότε δὲ καὶ τῶν
and here indeed turned-out these(-things) then and also of-the
δορυαλώτων τις ἱερέων, εἰς τὸν Αἷμον αἰχμάλωτος
spear-captured some(-one) priests to the Haimos (a)-captive
ἀπαγόμενος, δεῖται τοῦ Ἀσὰν ἀφεθῆναι, δι' ὁμοφωνίας
being-led-off asks — Asan to-be-released through same-speech
ὡς ἴδρις τῆς τῶν Βλάχων φωνῆς εἰς ἔλεον αὐτὸν
as skilled of-the of-the Vlachs tongue to mercy him
ἐκκαλούμενος. ὁ δ' ἀνανεύσας ἔφατο μηδέ ποτε προθέσθαι
calling-forth he and having-refused said not-even ever to-have-proposed

Ῥωμαίους ἀπολύειν, ἀλλ᾽ ἀπολλύειν· τοῦτο γὰρ καὶ θεὸν
(the)-Romans to-release but to-destroy this for also God
βούλεσθαι. πρὸς ὃ τὸν θύτην λέγεται ἀνθυπενεγκεῖν,
to-wish to which the sacrificer is-said to-have-replied
στενάξαντα βύθιον καὶ δακρύοις τὰ ὄμματα τέγξαντα,
having-groaned deeply and with-tears the eyes having-wetted
μηδ᾽ αὐτῷ θεὸν ὑπολείπεσθαι οἰκτίρμονα ἀνθ᾽ ὧν
not-even for-him God to-be-left merciful in-return-for which
οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος μετὰ πένητος ἀνδρὸς διὰ
not he-remembered to-do mercy with (a)-poor man through
ἱερωσύνης θεῷ πλησιάζοντος, ἐγγὺς δέ οἱ παρεστάναι καὶ
priesthood to-God drawing-near near and him to-stand also
τὸ τῆς ζωῆς τέρμα, καὶ τοῦτο μὴ ὡς ἐν μαλακῷ ὕπνῳ
the of-the life end and this not as in soft sleep
τῷ φυσικῷ μόρῳ ἐπελευσόμενον, ἀλλ᾽ ὡς εἴωθε τὰ
by-the natural fate going-to-come but as is-wont the(-things)
πλεῖστα τοῖς σφάττειν ἐν μαχαίρᾳ προτιθεμένοις.
most to-the(-ones) to-slaughter with (the)-sword proposing
καὶ οὐ διέπεσε τοῦ θυηπόλου τὸ πρόρρημα· μικρῷ γὰρ
and not fell-through of-the sacrificer the prediction (a)-little for
ὕστερον εἰς τὴν Μυσίαν ἐπανηκὼς παρά τινος τῶν
later to — Mysia having-returned by someone of-the
οἰκείων διαχειρίζεται. ἦν δὲ ὁ τρόπος οὗτος τῆς αὐτοῦ
own he-is-killed was and the manner this of-the his
ἀναιρέσεως. ἀνήρ τις ὁμοφυὴς αὐτῷ καὶ ὁμότροπος καὶ
killing man some of-the-same-race to-him and like-mannered and
ᾧ πάνυ προσέβλεπεν ἥμερον (Ἰβαγκὸς ὄνομα τῷδε,
on-whom very he-looked tamely Ivanko by-name to-this
σημαίνει δὲ ἡ λέξις τὸν Ἰωάννην), τῇ τῆς γυναικὸς
means and the word — John with-the of-the wife
αὐτοῦ κασιγνήτῳ λάθρᾳ συνήρχετο. πυθόμενος οὖν τὰ
his sister secretly came-together having-learned then the(-things)

τῆς μίξεως ἐκεῖνος τὰ μὲν πρῶτα εἰς εὐθύνας ἦγε τὴν
of-the intercourse he the indeed first to accounts brought the
ὁμευνέτιν, καὶ θανάτου ἐτίμα τὴν ἐπὶ τοῖς δρωμένοις
bedfellow and with-death assessed the at the(-things) done
παρασιώπησιν· ὡς δ' ἄλλοις τε αὐτὸν ἡ γυνὴ λόγοις
keeping-silent as and with-other both him the wife words
τοῦ φονίου κατηύναζε βλέμματος καὶ ὁρμήματος, ἀλλὰ
from-the murderous lulled look and rush but
δὴ καὶ τῷ προσάγειν ὕστερον ὡς εἰκαίως χολᾷ
indeed also by-the bringing-forward later that at-random he-is-angry
κατ' αὐτῆς, ἀκριβῶς γὰρ κἀκεῖνον τὰ περὶ τὴν
against her exactly for also-him the(-things) about the
μῖξιν ταυτηνὶ συνειδέναι, τὸν κατὰ τῆς ὁμολέκτρου
intercourse this to-know the against the bedfellow
χόλον εἰς Ἰβαγκὸν μετατίθησι, καὶ δὴ μεταπέμπεται τὸν
anger to Ivanko transfers and indeed summons the
ἄνδρα τῶν νυκτῶν ἀωρί, μηδὲν καθυφεὶς τῆς ὁρμῆς. ὁ
man of-the nights untimely nothing having-relaxed of-the rush he
δὲ τὸ τῆς χρείας ἔξωρον οὐκ ἀναίτιον καὶ ἀνεύθυνον
and the of-the need untimeliness not causeless and blameless
οἰηθεὶς ἐς τὴν αὔριον τὴν ἄφιξιν ὑπερτίθεται. ἐκείνου
having-thought to the morrow the arrival puts-off of-him
δ' αὖ πάλιν ἐγκειμένου καὶ μὴ φέρειν ἔχοντος τὴν
and in-turn again pressing and not to-bear being-able the
ῥαστώνην ὡς παρόρασιν, κοινοῦται τοῖς καθ' αἷμα
ease as neglect shares with-the(-ones) by blood
καὶ φίλοις τὸ ποιητέον ὁ Ἰβαγκός, εἰς νοῦν ὀψέ
and friends the(-thing) to-be-done — Ivanko into mind late
ποτε βαλὼν τὸ τῆς ἀφίξεως αἴτιον. οἱ δ' ὑποτιθέασι
at-last having-cast the of-the arrival cause they and suggest
τούτῳ τὴν προτενῆ περιζώσασθαι μάχαιραν, καὶ ταύτην
to-him the long to-gird-on sword and it

τῷ ἱματίῳ ἐνθάψαντα εἰσελθεῖν, καὶ τοῦ μὲν Ἀσὰν
in-the cloak having-buried to-enter and — indeed of-Asan
ἠρέμα προσεπιπλήττοντος καὶ τὸ τοῦ θυμοῦ κατ᾽ αὐτοῦ
gently rebuking and the of-the wrath against him
βράττον ὕβρεσι συμμετροῦντος, καὶ τοῖς λοιποῖς ἃ
boiling with-insults measuring and with-the other(-things) which
μὴ λυμήνηται τὸ σῶμα τὴν κόλασιν ἀφορίζοντος, φέρειν
not would-harm the body the punishment limiting to-bear
γενναίως καὶ τὴν ἐφ᾽ οἷς ἑάλω παραλύπησιν
nobly and the for which(-things) he-was-caught grieving
συγγνώμην αἰτεῖν, εἰ δ᾽ ἐκεῖνος διφῴη τὸ ξίφος κατ᾽
pardon to-ask if and he should-seek the sword against
αὐτοῦ, τηνικαῦτα κἀκεῖνον ἀνδρίζεσθαι, καὶ σπεύδειν
him then also-him to-play-the-man and to-hasten
ὥστε φθάσειν ὃ μελλήσας αὐτίκα πείσεται, καὶ πάσας
so-that to-anticipate what having-delayed at-once he-will-suffer and all
καιρίας ἐπάγειν καὶ καταγούσας εἰς ᾅδου τὸν ἀναιδῆ
mortal(-blows) to-bring and bringing-down to Hades the shameless
καὶ φιλαίματον. ὃ καὶ εἶχεν ὅδε διαπραξάμενος·
and blood-loving which also had this(-man) having-done
μηδὲν γὰρ ἐπ᾽ αὐτῷ διανοουμένου μέτριον τοῦ βαρβάρου,
nothing for on him intending moderate the barbarian
ἀλλὰ καὶ πρὸς τὴν πρώτην εὐθὺς θέαν ἐκθηριωθέντος
but also at the first at-once sight having-become-savage
καὶ τὸν σφαγέα ζητοῦντος κνώδοντα, κατὰ τοῦ βουβῶνος
and the slaughtering seeking sword at the groin
οὗτος φθάσας ἐκεῖνον πλήττει καὶ ἀναιρεῖ. οὐκοῦν καὶ
this(-man) having-anticipated him strikes and kills therefore also
διαδρὰς Ἰβαγκὸς παραχρῆμα πρόσεισι τοῖς τοῦ ἔργου
having-escaped Ivanko at-once approaches the of-the deed
συνίστορσι καὶ μηνύσας τὸ γεγονὸς ἔγνω αὐτοῖς
accomplices and having-revealed the(-thing) having-happened resolved with-them

ἅμα πρὸς ἀποστασίαν ἰδεῖν· μηδὲ γὰρ ἠρεμήσειν τοὺς
together to revolt to-look not-even for to-be-going-to-be-quiet the
τοῦ πεσόντος ὁμαίμονας καὶ ὅσον αὐτῷ πρὸς γένους
of-the fallen brothers and as-much-as to-him by race
καὶ φίλιον. κἂν μὲν προχωροίη τὰ κατὰ σκοπόν,
and friendly(-was) and-if indeed should-advance the(-things) to (their)-aim
καὶ χώρας ἐκείνους καὶ Μυσίας ἄρξειν αὐτῆς τοῦ
also land them and Mysia to-be-going-to-rule itself —
Ἀσὰν δικαιότερόν τε καὶ ἐννομώτερον. καὶ μὴ τῷ ξίφει
than-Asan more-justly both and more-lawfully and not with-the sword
τὰ πάντα ὡς ὁ πεσὼν διοικεῖν, καὶ ὅπερ ἂν ὑποβάλλῃ
the all(-things) as the fallen to-administer and whatever — might-suggest
θυμός, τοῦτο καὶ διαπράττεσθαι· εἰ δ' ἄλλως αὐτοῖς
wrath this also to-do if and otherwise for-them
μεταρριφείη τὰ διαβούλια μήτε μὴν ὅλως προβαίνουσι
should-be-thrown-around the plans nor indeed at-all advancing
τὰ κατ' ἔφεσιν, πρὸς ἄλλον μετασκευάσασθαι πλοῦν,
the(-things) by desire to another to-change voyage
τοῖς τὰ Ῥωμαίων πράγματα κυβερνῶσι τὰ κατ'
to-the(-ones) the of-(the)-Romans affairs steering the(-things) of
αὐτοὺς ἐπιτρέψαντες. ἔτι τοίνυν οὔσης νυκτὸς οὐ μόνον τὴν
them having-entrusted still therefore being night not only the
σκέψιν ταύτην ἐκράτυναν, ἀλλὰ καὶ πολλοὺς παρώξυναν
plan this they-confirmed but also many provoked
τῶν βουλευμάτων αὐτοῖς συλλαβέσθαι. ὅθεν κρατήσαντες
of-the plans for-them to-take-part whence having-mastered
τοῦ Τερνόβου (ὃ δέ ἐστιν ἡ ἐρυμνοτάτη ἅμα καὶ
— Ternovo which and is the most-fortified at-once and
προφερεστάτη τῶν κατὰ τὸν Αἷμον ἁπασῶν πόλεων,
foremost of-the at the Haimos all cities
τείχεσί τε ἰσχυροῖς περιβεβλημένος καὶ ῥεύματι ποταμείῳ
with-walls both strong surrounded and by-stream of-(a)-river

διειλημμένος καὶ ὄρους ἀκρωνυχίᾳ πεπολισμένος)
encompassed and on-(a)-mountain's peak built
τοῖς περὶ τὸν Πέτρον ἀντέστησαν· ἡ γὰρ φήμη ἅμα
to-the(-ones) about — Peter they-resisted the for rumor at-once
ἕῳ οὐκ ἐπ᾽ ἄκρων μόνον τῶν τοῦ Τερνόβου τειχέων
(at)-dawn not on (the)-tops only of-the — of-Ternovo walls
ἀλλὰ καὶ τοῖς ἔξω καὶ πόρρωθεν τὸν τοῦ Ἀσὰν
but also to-the(-ones) outside and from-afar the — of-Asan
περιεσάλπιζε θάνατον. ὡς δ᾽ οὔθ᾽ ὁ Πέτρος ῥᾳδίαν εὕρισκε
trumpeted-round death as and neither — Peter easy found
τὴν Ἰβαγκοῦ καταστροφὴν οὔθ᾽ οὗτος ἀποκρούσασθαι
the of-Ivanko overthrow nor this(-one) to-repel
Πέτρον ἠδύνατο, ὁ μὲν χρονοτριβεῖν ἐπεβάλετο καὶ
Peter was-able the one to-spend-time undertook and
μίαν ταύτην ᾤετο προσδοκίαν καταπαλαίσασαν τὸν
one this thought expectation wrestling-down the
ἀντίδικον Ἰβαγκόν, ὁ δὲ τῷ τῶν Ῥωμαίων προσρυῆναι
opponent Ivanko the other to-the of-the Romans to-flee-to
βασιλεῖ δεῖν ἔγνωκε καὶ διὰ τῆς ἐκεῖθεν συνάρσεως
emperor to-be-needful decided and through the thence help
περιγενέσθαι τῶν διαφόρων. ἐλέγετο δὲ καὶ ὑποθήκαις
to-overcome the adversaries it-was-said and also by-(the)-suggestions
Ἰσαακίου τοῦ σεβαστοκράτορος ἀναιρεθῆναι πρὸς Ἰβαγκοῦ
of-Isaac the sebastokrator to-have-been-killed by Ivanko
τὸν Ἀσάν, ἄλλαις τε πλείσταις ὑποσχέσεσι πρὸς τοῦτο
— Asan with-other both very-many promises for this
ἐπιρρωσθέντος, καὶ προσέτι γε μὴν πτερωθέντος τῷ
strengthened and moreover at-least indeed winged by-the
κατ᾽ ἐπιγαμίαν συναρμόσασθαί οἱ καθυποσχέσθαι τὴν
by intermarriage to-join him to-have-promised the

οἰκείαν θυγατέρα τὴν Θεοδώραν. πλὴν ὁ μὲν ἐναφῆκε τοῖς
own daughter — Theodora however he indeed let-go in-the
δεσμοῖς τὴν ψυχήν, καὶ μηδέπω τοῦ φόνου κατεργασθέντος·
bonds the soul and not-yet the murder having-been-accomplished

VI · IVANKO

Ivanko asks the emperor for an army to take Ternovo and Mysia; Alexios dawdles in the palace like a worm in its shell, and the protostrator Manuel Kamytzes' troops mutiny at the Mysian border and go home. Ivanko flees to the emperor, Peter regains the command and is soon killed by a kinsman, and the third brother, John, once a hostage among the Romans, rules the Vlachs. Choniates laments that no bishop or monk sought the cause of God's anger, as the Greeks once did when they asked the seer Kalchas. Ivanko, tall and shrewd, is betrothed to the emperor's young granddaughter Theodora but covets her widowed mother Anna, and guards the land about Philippopolis against the raids of the Vlachs and Cumans.

ὁ δ' Ἰβαγκὸς δηλώσας βασιλεῖ τὸ γινόμενον
— and Ivanko having-made-known to-(the)-emperor the(-thing) happening
στεῖλαί τινα μετὰ στρατιᾶς διηρέθιζε τὸν παραληψόμενόν
to-send someone with (an)-army urged the(-one) going-to-take-over
τε τὸν Τέρνοβον καὶ σὺν αὐτῷ περὶ τῆς ὅλης Μυσίας
both — Ternovo and with him for the whole Mysia
ἀγωνισόμενον. καὶ τάχ' ἂν τετέλεστό τι τοῖς
going-to-contend and perhaps — would-have-been-accomplished something for-the
Ῥωμαίοις σωτήριον, εἰ βασιλεὺς αὐτίκα προθύμως πρὸς
Romans saving if (the)-emperor at-once eagerly at
τὴν ἀγγελίαν ταύτην πραξικοπεῖν ἐπεβάλετο, ἐπειδήπερ
the message this to-act-swiftly had-undertaken since
καὶ εἰ Τέρνοβον εἷλεν, εἶχεν ἂν εὐμαρῶς καὶ
also if Ternovo he-had-taken would-have-held — easily and
ἀπόνως Μυσίαν ἅπασαν. νῦν δὲ ὁ μὲν βλακευσάμενος
without-toil Mysia all now and he indeed having-been-lazy

ἐνέφυ τοῖς ἀρχείοις καὶ πάλιν κατὰ τὸν εἰς τὸ κέλυφος
clung-to the palace and again like the into the shell
βυόμενον σκώληκα, στέλλει δὲ τὸν πρωτοστράτορα
stuffed worm sends and the protostrator
Μανουὴλ τὸν Καμύτζην, ἀνειπὼν στρατηγόν. ὁ
Manuel the Kamytzes having-named(-him) general he
δ' ἀπάρας ἐκ τῆς Φιλίππου μετὰ τῶν ἑπομένων
and having-set-out from the(-city) of-Philip with the following
ἐκείνῳ δυνάμεων, καὶ τῶν ὅρων τῆς Μυσίας ἄκροις
him forces and the borders — of-Mysia with-(the)-tips-of
ποσὶν ἐφαψάμενος, παλίσσυτος γίνεται παρὰ δόξαν. τὸ
feet having-touched backward becomes beyond expectation the
γὰρ στράτευμα ἐπαναστὰν „ποῖ ἄγεις ἡμᾶς" ἔλεγον,
for army having-risen-up where do-you-lead us they-said
„ἢ τίσι συμπλακήσεσθαι μέλλομεν; οὐ πολλάκις τὰς
or with-whom to-grapple are-we-about not often the
ὁριαίας ταύτας ὁδοὺς διήλθομεν, καὶ μὴ μόνον οὐδέν τι
border these roads we-went-through and not only nothing at-all
κατωρθώκειμεν βέλτιον, ἀλλὰ καὶ μικροῦ προαπολώλειμεν
we-had-achieved better but also by-little we-had-perished-first
ἅπαντες; ἀνάστρεφε τοίνυν, ἀνάστρεφε, καὶ ἡγοῦ τῆς
all turn-back therefore turn-back and lead the(-road)
ἐπὶ τὰ σφέτερα." ἐπὶ δὴ τούτοις καὶ δείμασιν ἀλόγοις
to the their-own(-lands) at indeed these(-words) and by-terrors unreasoning
ἐκταραχθέντες, ὥσπερ κατὰ νώτου τινῶν ἐγκειμένων καὶ
thrown-into-confusion as-if on (the)-back some(-men) pressing and
παντοίοις ὅπλοις βαλλόντων, ἀκόσμως ᾤχοντο. καὶ αὖθις
with-all-kinds-of weapons striking disorderly they-went and again
οὖν πρὸς τοῦ βασιλέως ἡ πρᾶξις αὕτη μετὰ στρατιᾶς
then by the emperor the action this with army
ἐπεκρίνατο μείζονος. ἐνίκα δ' ἐσαεὶ τὰ χείρονα, μηδενὸς
was-decided greater prevailed and always the worse(-counsels) nobody

εἰς χεῖρας ἐλθεῖν καὶ συμμῖξαι τοῖς βαρβάροις ἐν τῷ
into hands to-come and to-engage with-the barbarians in the
ἐπαρήγειν Ἰβαγκῷ δοκιμάζοντος. ἀπειρηκὼς τοίνυν οὗτος
helping Ivanko approving having-given-up therefore this(-man)
καὶ τοῖς κατὰ τὸν Τέρνοβον δυσχρηστούμενος πράγμασιν,
and by-the at — Ternovo distressed affairs
οἷα τῶν περὶ τὸν Πέτρον κρατυνομένων ἀεὶ καὶ
as of-the(-ones) about — Peter being-strengthened always and
στρατιᾶς προσθήκαις ἐπαυξομένων, ἔξεισιν ἐκεῖθεν λαθραίως
with-army's additions increased goes-out thence secretly
καὶ πρόσεισι βασιλεῖ, καὶ μετῆλθεν οὕτω καθαρῶς πρὸς
and approaches (the)-emperor and passed thus clearly to
τὸν Πέτρον πάλιν ἡ ἀρχηγία Μυσῶν. πλὴν οὐδ' οὗτος
— Peter again the command of-Mysians however not-even this(-one)
θανάτῳ φυσικῷ ἐπαπῆλθεν, ἀλλὰ μικρῷ ὕστερον παρά
by-death natural departed but (a)-little later by
του τῶν ὁμογενῶν ξίφει διελαθεὶς κατέστρεψεν
some(-one) of-the kinsmen with-(a)-sword run-through ended
οἰκτρῶς τὴν ζωήν, ἡ δὲ ἡγεμονία τῶν Βλάχων βλέπει
pitiably the life the and command of-the Vlachs looks
πρὸς Ἰωάννην τὸν τρίτον τῶν ἀδελφῶν. τότε δ' οὖν ὁ
to John the third of-the brothers then and then —
Πέτρος συλλήπτορα τῶν πόνων καὶ μερίτην τῆς δυναστείας
Peter (as)-helper of-the labors and sharer of-the power
Ἰωάννην προσελόμενος τὸν ὁμαίμονα, ὃς ἐφ' ἱκανὸν
John having-taken the brother who for sufficient(-time)
ὡμήρησεν ἐν Ῥωμαίοις ἡνίκα εἶχε βασιλεὺς Ἰσαάκιος
was-hostage among (the)-Romans when had (the)-emperor Isaac
δισσεύσας κατὰ Μυσῶν, ἀποδρὰς δέ, ὡς πρὸς τὰ
doubling against Mysians having-escaped and as to the(-places)
οἴκοι πάλιν ἀφίκετο, οὐκ ἐξ ἀντιθέτου τῷ τεθνεῶτι
at-home again he-arrived not from opposite to-the dead

Ἀσὰν τὰ Ῥωμαίων ἔκειρε προνομεύων· ἡ γὰρ φύσις
Asan the(-lands) of-(the)-Romans ravaged plundering the for nature
καὶ τούτῳ οὐδέν τι πρὸς τὰ ἡμέτερα διεβράβευσε
also to-this(-one) nothing at-all toward the our(-affairs) awarded
μέτριον. ὑπήντα δὲ τῷ Πέτρῳ ἐξ ἡμῶν οὐδείς, οὐδ'
moderate met and — Peter of us nobody nor
ἠδύνατο, ἀλλὰ τοσούτων καὶ τηλικούτων τοῖς ἐναντίοις
was-able but so-many and such for-the opponents
κατωρθωμένων ἐπὶ πλείστοις ἐνιαυτοῖς, καὶ τοῦ κακοῦ
having-been-achieved for very-many years and of-the evil
τοῦδε τῶν Ῥωμαίων ἐσαεὶ διακυμαίνοντος πράγμασιν,
this of-the Romans always surging affairs
οὐδέ ποτε βραχεῖα νίκη Ῥωμαίοις διαγεγελάκει οὐδέ
not-even ever short victory on-(the)-Romans had-smiled nor
τι παρυφέστη τροπαιουχήματος ἴνδαλμα. τὴν δ' ἐκ
anything stood-under of-trophy image the and from
θεοῦ παρόρασιν ταύτην καὶ τελείαν μικροῦ ἐγκατάλειψιν
God overlooking this and complete by-little abandonment
οὐδεὶς τῶν ὑψιθρόνων ἀρχιερέων καὶ τὰς πρώτας
none of-the high-throned high-priests and the first
καρπουμένων τιμὰς ἢ τῶν τὴν ἐρέαν τῆς κεφαλῆς μέχρι
enjoying honors or of-the the wool of-the head as-far-as
καὶ ῥινὸς διαχαλώντων βαθυπωγώνων μοναστῶν ἐν νῷ
also (the)-nose letting-hang deep-bearded monks in mind
βαλλόμενος ἦν, ἢ διδάσκων πρὸς ταύτην ἀντιπράττειν
casting was or teaching against it to-act
ὁποσονοῦν, ἢ ἐν τῷ παρρησιάζεσθαι βασιλέως ἐνώπιον
in-any-way or in the speaking-freely of-(the)-emperor before
Ῥωμαίοις διαμηχανώμενος τὰ σωτήρια· ἀλλ' ὡς εἰ
for-(the)-Romans devising the saving(-things) but as if
πάντες ἐξέκλινάν τε ἅμα καὶ ἠχρειώθησαν, ἀνεπαισθήτως
all turned-aside both at-once and were-made-useless insensibly

εἶχον τῶν γινομένων καὶ οἷον ἀντέβαινον ταῖς
they-held of-the(-things) happening and as-it-were resisted the
ἐκ θεοῦ μαστιγώσεσιν. Ἕλληνες δὲ τὴν αἰτίαν ἐζήτησαν
from God scourgings Greeks and the cause sought
τοῦ λοιμοῦ, καὶ τοῦ μάντεως πυθόμενοι Κάλχαντος οὐκ
of-the plague and of-the seer having-inquired Kalchas not
ἀφῆκαν τὸ κακὸν ἀθεράπευτον, παρ᾽ οὐδὲν θέμενοι εἰ
let the evil uncured as nothing having-reckoned if
βαρυμηνιᾶν ἔμελλεν ὁ πρώτιστος καὶ κράτιστος τοῦ
to-be-grievously-wroth was-about the first and strongest of-the
στρατεύματος. ὅγε μὴν Ἰβαγκὸς τῷ βασιλεῖ προσρυεὶς
army at-least indeed Ivanko to-the emperor having-fled
ἀσμένως προσδέδεκτο, καὶ γέγονεν ἐς οὐκ ὀλίγα χρήσιμος
gladly had-been-received and became for not few(-things) useful
Ῥωμαίοις, εὐμήκης ὢν τὴν ἡλικίαν καὶ ἀγχίνους μάλιστα
to-(the)-Romans tall being in-the stature and shrewd most
καὶ τὴν ῥώμην ἀκμαῖος τοῦ σώματος· τὸν δέ γε ἄνδρα
and in-the strength vigorous of-the body the and at-least man
τῶν αἱμάτων τῷ τοῦ εἴδους ἀκροχόλῳ καὶ τῷ τῆς
of-the bloods by-the of-the look sharp-temper and by-the of-the
γνώμης ἀποκρότῳ σαφῶς διεχάραττε, Ῥωμαίοις μὲν
mind harshness clearly he-marked with-(the)-Romans indeed
συναυλιζόμενος, μεταρρυθμιζόμενος δὲ μηδαμῶς πρὸς τὸ
camping-with being-reshaped and in-no-way toward the
τοῦ φρονήματος ὁμαλὸν καὶ εὐένδοτον. ὁ μέντοι βασιλεὺς
of-the spirit evenness and yieldingness the however emperor
οὐκ ἀνάξιον κρίνας τὸν ἄνδρα τῶν εἰς αὐτὸν γενομένων
not unworthy having-judged the man of-the to him made
γαμικῶν ἐγγυήσεων τὴν μὲν παστάδα ἐς τὸν νόμιμον
marital pledges the indeed bridal-chamber to the lawful
καιρὸν ἀνεβάλετο (ἔτι γὰρ ἐψέλλιζεν ἡ νύμφη τὰ παιδικά),
time put-off still for lisped the bride the childish(-things)

αὐτὸν δὲ τοῖς μέγα δυναμένοις συγγενέσιν ἐνέγραφεν,
him and among-the greatly powerful kinsmen enrolled
οὐδενὸς τῶν εἰς θεραπείαν ἀρχικὴν καὶ πλοῦτον βαθὺν
nothing of-the(-things) for service princely and wealth deep
παρεικὼς στέρεσθαι. ὁ δὲ πρὸς τὸ κατηγγυημένης αὐτῷ
having-let to-lack he and at the promised to-him
θυγατρόπαιδος τοῦ βασιλέως ἀτελὲς ὁρῶν, καὶ τῇ
granddaughter of-the emperor unaccomplished(-ness) seeing and on-the
τοῦ κάλλους ῥοδωνιᾷ τῇ τῆς τεκούσης αὐτὴν Ἄννης
of-the beauty rose-bloom the(-one) of-the having-borne her Anna
ἐν χηρείᾳ ἔτι οὔσης περιέργως ἐνατενίζων, καὶ γάμους
in widowhood still being curiously gazing and marriage
φανταζόμενος μείζονας, „τί μοι καὶ τῷ ἐν γάλαξιν"
imagining greater what for-me and for-the(-one) in milk
ἔφασκεν, „ἀρνειῷ ἀμνάδος πρὸς ὀχείαν καὶ αἰγὸς τελείας
he-said (a)-ram of-(a)-ewe-lamb for mating and (a)-goat full-grown
ἐπιδεομένῳ;" τὰ πλεῖστα μὲν οὖν ὁ ἀνὴρ οὗτος τοῖς
needing the most(-part) indeed then the man this in-the
περὶ τὴν Φιλίππου ἐπόνει μέρεσι, καὶ ἦν ἀγαπητὸν
about the of-Philip toiled parts and was (a)-welcome
Ῥωμαίοις ἀντίφραγμα τῶν ἐκ τοῦ γένους ἐκείνου
to-(the)-Romans barrier against-the(-ones) from the race that
μετὰ Σκυθῶν συνάρσεως ἐξιόντων καὶ κειρόντων τὸ
with Scythians' help going-out and ravaging the(-thing)
προσπεσόν, ἐνίοτε δὲ καὶ βασιλεῖ συστρατεύων
befalling sometimes and also with-(the)-emperor campaigning
διαφερόντως ἐδόκει δραστήριος. τίς δ' ἂν καὶ ἀριθμεῖν
exceptionally seemed energetic who and — even to-count
δύναιτο ὅσαι καὶ ὅτε τοῦ ἔτους Σκυθῶν καὶ Βλάχων
could how-many and when of-the year of-Scythians and Vlachs
ἐγίνοντο ἔφοδοι, καὶ οἷα ἔργα ἔδρων ἀνόσια; μαρτυροῦσι
happened attacks and what-sort deeds they-did unholy testify

δήπου τὰ πεπραγμένα ἡ τῶν πρὸς Αἷμον χωρῶν
surely the(-things) done the of-the toward Haimos lands
ἐρημία Μακεδονίας τε καὶ Θρᾴκης οἱ λῃϊσμοὶ στηλῶν καὶ
desolation of-Macedonia both and Thrace the plunderings than-pillars and
κύρβεων ἀκριβέστερον καὶ ξυμπάσης ἱστορίας τρανότερον.
tablets more-exactly and than-all history more-clearly

VII · DADIBRA, AND HENRY'S DEMANDS

Quarreling with the Turkish ruler of Ankyra over money, Alexios lets Dadibra be besieged for four months; the relief force is ambushed, and the townsmen surrender and leave, while the emperor later pays the money anyway. Henry, son of Frederick, master of Sicily and Italy, demands the lands from Epidamnos to Thessalonike and a fleet for Palestine, and his envoys arrive with boasts and demands for many talents.

Οὐ μόνον δὲ τὰ κατὰ τοὺς πρὸς ἄνεμον
not only and the(-things) about the toward (the)-wind
βορρᾶν ἐκπολεμωθέντας ἡμῖν βαρβάρους ἦν ἀεί
north made-hostile to-us barbarians were always
πως ἐπικρατέστερά τε καὶ δυσαντίβλεπτα, ἀλλὰ καὶ καθ'
somehow more-powerful both and hard-to-face but also in
ἕω τὰ Ῥωμαίων Πέρσαις ἐξέκειτο πρὸς ἀφάντωσιν.
(the)-east the(-things) of-(the)-Romans to-Persians lay-exposed for annihilation
μὴ γὰρ τῷ Πέρσῃ σπεισάμενος ὃς Ἀγκύρας ἦρχε τῆς
not for with-the Persian having-made-a-treaty who Ankyra ruled the
Γαλατικῆς, ἀλλὰ πῇ μὲν τὴν μετ' αὐτοῦ φιλίαν παρ'
Galatian but in-one-way indeed the with him friendship at
οὐδὲν τιθέμενος ὡς λυμαίνεσθαι Ῥωμαίους οὐκ ἔχοντος,
nothing setting as to-harm (the)-Romans not being-able
πῇ δὲ περὶ τὴν δόσιν τῶν χρημάτων ὧν ὑπὲρ εἰρήνης
in-another and about the giving of-the money which for peace

ᾔτει σμικρολογούμενος, διετέλεσεν ἐς χρόνον ἕνα καὶ
he-asked being-stingy he-continued for time one and
μῆνας ἓξ ἐκείνῳ διαφερόμενος. ἀμέλει τοι διὰ ταῦτα
months six with-him at-variance indeed surely because-of these(-things)
ὅ τε Κίλιξ Ἀλέξιος ὅσα εἴπομεν διεπράξατο παρὰ τοῦ
the both Cilician Alexios as-many-as we-said did by the
τῆς Ἀγκύρας δυνάστου ἐνισχυόμενος, ᾗ τε πόλις Δάδιβρα
— of-Ankyra ruler strengthened the both city Dadibra
ἑάλω καὶ Πέρσαις ὑπέκυψεν. ἄρας γὰρ μεθ' ἁπάσης
was-taken and to-Persians bowed having-set-out for with all
ὁ Πέρσης αὐτοῦ τῆς δυνάμεως καὶ περὶ ταυτηνὶ τὴν πόλιν
the Persian his of-the force and about this the city
βαλὼν στρατόπεδον ἐπέμενε πολιορκῶν. τριβομένου
having-thrown (a)-camp persisted besieging being-worn-away
δὲ τοῦ καιροῦ εἰς μῆνας μὲν ἡ πολιόρκησις παρετάθη
and the time into months indeed the siege was-extended
τέσσαρας, ἐπικουρία δ' ἦν οὐδαμοῦ τοῖς Δαδιβρηνοῖς
four help and was nowhere for-the Dadibrenes
ἐπιοῦσα ἐκ τῶν ἐκτός· ὅ τε γὰρ βασιλεὺς εἰ καὶ
coming from the(-ones) outside the both for emperor if even
πέμπων ἐνῆγεν αὐτοὺς ἀντέχειν γενναίως καὶ συμμαχήσειν
sending urged them to-hold-out nobly and to-fight-alongside
κατεπηγγέλλετο, ἔμελλεν ἀεί πως καὶ ἀνεδύετο, καὶ οἱ
promised delayed always somehow and shrank-back and the
πρόσοροι Παφλαγόνες ἀγχοῦ που προσιέναι καὶ ἐπαμῦναι
neighboring Paphlagonians near somewhere to-approach and to-help
οὐδαμῶς ἐθάρρησαν. ἀτὰρ οἱ πολιορκούμενοι πρὸς πᾶσαν
in-no-way dared but the besieged of every
ἀπεγνώκεσαν ἀρωγήν, καὶ δῆλοι ἦσαν λιμῷ πιεζόμενοι
had-despaired help and plain were by-hunger pressed
καὶ ταῖς πετροβόλοις μηχαναῖς ἀνήκεστα πάσχοντες·
and by-the stone-throwing engines incurable(-things) suffering

τοὺς γὰρ λίθους ἐκ τῶν ἔξωθεν γηλόφων κατὰ τὸ μέσον
the for stones from the outside hills into the middle
ἀφιεῖσαι τῆς πόλεως τὰς οἰκίας κατήρειπον, τίτανά τε
letting-fly of-the city the houses pulled-down lime both
διακοντίζουσαι καὶ πᾶν ἕτερον ἀνθρώποις ἐπίβουλον
hurling and every other(-thing) to-men harmful
ἀκροβολίζουσαι τὰ δοχεῖα τῶν ὑδάτων ἠφάνιζον καὶ τὰ
shooting the receptacles of-the waters made-vanish and the
ποτὰ ἠχρείουν ἑστῶτα ὄντα καὶ μὴ πλανώμενα. μετ᾽ οὐ
drinks made-useless standing being and not wandering after not
πολὺν δέ τινα χρόνον βασιλικῆς ἐπικουρίας ἀφιγμένης
much and some time imperial help having-arrived
καὶ κατὰ τὸν Βάβαν τὸ ὄρος αὐλισαμένης, ἧς ἦρχον
and at the Babas the mountain having-camped which led
μείρακες τρεῖς, ὁ Βρανᾶς οὗτος Θεόδωρος, ὁ Κατακαλὼν
lads three — Branas this Theodore — Katakalon
Ἀνδρόνικος καὶ ὁ Καζάνης Θεόδωρος, ὡς ᾔσθοντο οἱ
Andronikos and — Kazanes Theodore as perceived the
Πέρσαι, λόχους ὑποκαθίζουσι, καὶ μήπω παρανατειλάσης
Persians ambushes set and not-yet having-risen
ἡμέρας ἐπιθέμενοι καὶ φεύγουσιν κατόπιν ἐπικείμενοι οὓς
day having-attacked and fleeing from-behind pressing some
μὲν ἔκτειναν οὓς δὲ συνειλήφασι ζῶντας, μεθ᾽ ὧν καὶ
indeed killed others and seized alive with whom also
τοὺς δύο στρατηγούς. καὶ τούτους περιηγκωνισμένους τὰς
the two generals and these bound-behind the
χεῖρας κύκλῳ περιάγων ὁ Πέρσης ἐδείκνυ τοῖς ἐπὶ
hands around leading the Persian showed to-the(-ones) on
τῶν τειχῶν, καὶ παρῄνει, ἕως ἡ πόλις τοῖς πολεμίοις
the walls and exhorted while the city by-the enemies
ἀβάπτιστος κύμασι, τὴν ἐκείνης ἐγχειρίσαι αὐτῷ οἰάκισιν·
unsubmerged waves the her to-hand-over to-him rudders

μηδὲ γὰρ ἐκ τοῦδε σώζειν ἔχουσαν ἐλπίδα σφίσιν
not-even for from this(-point) saving having hope for-them
ὑπολελεῖφθαι, μηδ' ἂν αὐτὸν ἐκεῖθεν μεταναστεῦσαί ποτε,
to-be-left nor — he thence to-move ever
εἰ μὴ ἐγκρατὴς τῆς πόλεως γένοιτο. τοιούτοις οὖν οἱ
if not master of-the city he-should-become by-such then the
Δαδιβρηνοὶ θεάμασι καὶ ἀκούσμασι κατακλασθέντες τὸ
Dadibrenes sights and hearings broken in-the
πρόθυμον τρέπονται πρὸς συμβάσεις ἀσυμφόρους μέν,
eagerness turn to agreements unprofitable indeed
ὁποίας δ' ἐπέταττεν ὁ καιρὸς ἀκμαῖος ἐφεστὼς καὶ τομός,
such-as and ordered the time at-its-height standing-over and sharp
κατανεύουσί τε τὴν μὲν πόλιν ἐκλιπεῖν πανσυδί,
they-consent both the indeed city to-leave with-all-their-people
βαδίσαι δ' ἕκαστον κακῶν ἀπαθῆ μετὰ τῶν φιλτάτων
to-go and each of-evils untouched with the dearest
σφίσι καὶ τῶν κτήσεων ἣν ἂν αἱροῖντο στείλασθαι,
to-them and of-the possessions what — they-might-choose to-take
ἐπεὶ μηδ' εὕρισκον τὸν βάρβαρον μένειν αὐτοὺς κατὰ
since not-even they-found the barbarian to-remain them in
χώραν ἐῶντα καὶ φόρους αὐτῷ κατατίθεσθαι ὁπωσοῦν
place allowing and taxes to-him to-pay in-any-way
συντιθέμενον. ταῦτ' ἄρα καὶ ὅρκων γεγενημένων ὁ
agreeing these(-things) then also oaths having-been-made the
μὲν Πέρσης εἶχε τὴν πόλιν, καὶ τοῖς ἐκ τοῦ γένους
indeed Persian had the city and to-the(-ones) from the race
δίδωσιν αὐτὴν εἰς ἐνοίκησιν, αὐτοὶ δὲ μεταναστάντες
gives it for dwelling themselves and having-moved
ἐκεῖθεν καθ' ἑτέρας χώρας καὶ πόλεις διεσπάρησαν·
thence to other lands and cities were-scattered
πολλοὶ δὲ τῆς πατρίδος ἄγχιστα πηξάμενοι μόσυνα, οὕτω
many and of-the fatherland nearest having-fixed huts thus

δοκοῦν τῷ Πέρσῃ, προσέμειναν δούλειον ὑποδύντες
seeming(-good) to-the Persian remained slavish having-gone-under
ζυγόν, οἷς ἡ τῆς ἐνεγκαμένης γλυκύτης τῇ μνήμῃ
yoke for-whom the of-the having-borne(-them) sweetness in-the memory
προσίζανεν ἀναπόνιπτος. καὶ τοιοῦτον μὲν τῇ πόλει
sat-by indelible and such indeed for-the city
Δαδίβρῃ τέλος ἀπήντησεν· ὁ δὲ βασιλεὺς μετὰ βραχὺ
Dadibra end came the and emperor after (a)-little
τῷ Πέρσῃ σπεισάμενος ἀπέδωκεν ἀσπασίως ὅσα
with-the Persian having-made-a-treaty paid gladly as-much-as
πρὸ τοῦ ἁλῶναι Δάδιβραν ἀπητεῖτο χρήματα, ὡς ἐξ
before the to-be-taken Dadibra was-demanded money as from
ὀμμάτων οὖσαν τὴν τότε αἰσχύνην ταχέως ἀποτριψάμενος.
eyes being the then shame quickly having-rubbed-off
Ἀλλ᾽ οὔπω ἡ Ῥωμαίων ἀρχὴ τὴν ἅλμην ταύτην ἀπέπτυσεν
but not-yet the of-(the)-Romans rule the brine this spat-out
ἀνένευσέ τε καθαρῶς καὶ ἀνέπνευσε, καὶ δεινοτέρων
raised-its-head both clearly and breathed and of-more-terrible
ἀγγέλμασιν ἀκουσμάτων βάλλεται ἄλλων, καὶ τῶν
by-reports of-hearings is-struck other also than-the
ἐνεστώτων ἦσαν τὰ προσδοκώμενα δυσαχθέστερα, εἴ
present were the(-things) expected harder-to-bear if
γε τὰ μὲν ὑπέσαινον ἐλευθερίας ἐγκαταλείμμασιν
at-least the(-ones) indeed fawned with-freedom's remnants
ἀπὸ μέρους ἀλγύνοντα, τὰ δ᾽ ἐκ τῶν ἑσπερίων
in part grieving the(-ones) and from the western
ἐθνῶν βάλλοντα δουλείαν παρεῖχον φαντάζεσθαι παγγενεὶ
nations striking slavery made to-imagine all-together
προβησομένην καὶ δυσαπάλλακτον. ὁ γὰρ δὴ τότε κρατῶν
going-to-come and hard-to-be-rid-of the for indeed then ruling
τῶν Ἀλαμανῶν Ἀμερίγος ὁ τοῦ Φρεδερίχου υἱός, ὃς ἐν
of-the Alamans Henry the — of-Frederick son who in

τῇ κατὰ Παλαιστίνην ἀνόδῳ τὰ ὕστατα νίπτρα λέλουται
the to Palestine ascent the last washings has-been-washed
ποταμίῳ ἐναποψύξας ῥεύματι, καθὼς ἐν τοῖς κατὰ τὸν
in-(a)-river's having-breathed-his-last stream as in the about the
βασιλέα Ἰσαάκιον τὸν Ἄγγελον λόγοις ἱστόρηται, τὴν
emperor Isaac the Angelos accounts has-been-related the
πατρῴαν εἰληφὼς βασιλείαν Σικελίαν τε παραστησάμενος
paternal having-taken empire Sicily both having-subdued
καὶ Ἰταλίαν ὑπαγαγόμενος ἐπὶ τῷδε καὶ Ῥωμαίοις αὐτοῖς
and Italy having-brought-under upon this also on-(the)-Romans themselves
ἐπεφύετο, πραγμάτων νεωτέρων ἄτοπος ὢν ἐραστὴς καὶ
fastened of-affairs newer monstrous being lover and
ῥέκτης κακῶν δυσαπάλλακτος. οὐκ ἀνέδην δὲ καὶ αὐτίκα
doer of-evils hard-to-be-rid-of not unrestrainedly and also at-once
Ῥωμαίοις ἦν ἐφεδρεύων, τὸ τῆς ἐγχειρήσεως ἐργῶδες
to-(the)-Romans was lying-in-wait the of-the undertaking laboriousness
ὑποβλεπόμενος, καὶ ἔτι ἔχων τοῖς ὀφθαλμοῖς προκείμενα
suspecting and still having before-the eyes lying
ὁπόσα Ῥωμαῖοι κατὰ Σικελικῶν ἠνδρίσαντο ἐς τὴν
as-many-as (the)-Romans against Sicilians played-the-man into the
ἡμετέραν πρώην παρεμβαλόντων, καὶ παρὰ τοῦ πάπα δὲ
our(-land) formerly having-invaded and by the pope and
τῆς πρεσβυτέρας Ῥώμης οὐκ ἔλαττον ἀνασειραζόμενος τῆς
of-the elder Rome no less reined-back from-the
προθέσεως. πέμψας οὖν πρέσβεις πρὸς τὸν αὐτοκράτορα
purpose having-sent then envoys to the autocrat
Ἰσαάκιον (οὐ γάρ πω τῆς ἀρχῆς ἐξωστράκιστο) αἰτίας
Isaac not for yet from-the rule he-had-been-ostracized causes
συνείρει ἀναιτίου δήπουθεν διαστάσεως. ἑαυτῷ γὰρ
strings-together causeless surely of-quarrel to-himself for
ἀπεμέριζε καὶ προσῳκείου, ὡς ἤδη Σικελίας ἐξουσιάζοντι,
he-allotted and appropriated as already Sicily ruling

τὰς ἐξ αὐτῆς Ἐπιδάμνου μέχρι καὶ τῆς μεγαλωνύμου
the from itself Epidamnos as-far-as also the great-named
πόλεως Θεσσαλονίκης Ῥωμαϊκὰς ἁπαξαπάσας χώρας ὡς
city Thessalonike Roman all lands as
νόμῳ ὑποκυψάσας πολέμου τῷ τῶν Σικελῶν πρὸ τρίτης
by-law having-bowed of-war to-the of-the Sicilians before (the)-third(-year)
στρατεύματι· τὴν γὰρ ἧτταν τούτων καὶ κατατρόπωσιν κατ᾽
army the for defeat of-these and rout by
ἀπάτην ἔλεγε Ῥωμαίων προσυπαντῆσαι, οὐχ ἥκιστα πάντων
deceit he-said of-(the)-Romans to-have-happened not least of-all
λογοποιὸς ἐν τοῖς ἀνδάνουσιν εὑρισκόμενος. ἐλογίστευε δὲ
(a)-maker-of-stories in the pleasing(-things) found reckoned and
καὶ λύπας τὰς τοῦ πατρός, καὶ σταθμίοις οὐ δικαίοις αὐτὰς
also (the)-griefs the of-the father and with-scales not just them
ἐταλάντευεν, οὐ τὰς προσφάτους μόνον ἀλλὰ καὶ ὅσαις
weighed not the fresh only but also as-many-as
ἐκεῖνος ἐκ πολλοῦ προσεπάλαισε, τῆς παλαιτέρας Ῥώμης
he for long wrestled from-the elder Rome
ἐκδυστάμενος ταῖς τοῦ βασιλέως Μανουὴλ ἀγχινοίαις καὶ
being-driven by-the of-the emperor Manuel sbrewdnesses and
Ἰταλίας ὡσαύτως ἐκσφενδονούμενος. καὶ ταῦτα δὴ τὰ
from-Italy likewise slung-out and these indeed the(-things)
πρὸ Εὐκλείδου ἀνυποστόλως ἀνακινῶν ἤθελε Ῥωμαίους
before Eukleides unhesitatingly stirring-up wished (the)-Romans
χρήμασι μεγίστοις πρίασθαι τὴν εἰρήνην ἢ πολεμησείοντα
with-money greatest to-buy the peace or wishing-for-war
τοῦτον ἐκ τοῦ αὐτίκα μάλα καθυπεκδέχεσθαι. προσαπῄτει
him from the at-once very to-await demanded
δέ, ὡς εἰ κυρίων κύριος καθειστήκει καὶ βασιλεὺς
and as if of-lords lord he-had-been-established and emperor
ἀναδέδεικται βασιλέων, συνάρασθαι τοῖς κατὰ Παλαιστίνην
has-been-shown of-emperors to-help the in Palestine

ὁμογενέσιν ἐκείνῳ δι᾽ ἀποστολῆς ναυμαχικῆς στρατιᾶς.
kinsmen to-him through sending of-(a)-naval army
ἀντεπιστείλαντος δὲ πρὸς ταῦτα τοῦ βασιλέως καὶ ἄνδρα
having-written-back and to these the emperor and (a)-man
τῶν οὐκ ἀσήμων πρεσβευτὴν στείλαντος, πρέσβεις ἐκεῖθεν
of-the not obscure (as)-envoy having-sent envoys thence
ἀφίκοντο, ὧν ἄτερος βαρὺς ἦν τὴν ὀφρὺν καὶ περιττὸς
arrived of-whom one heavy was in-the brow and excessive
τῷ παιδοκομῆσαι τὸν ῥῆγα. ἦν δὲ καὶ τὰ δι᾽
in-the to-have-reared the king were and also the(-things) through
αὐτῶν πρεσβευόμενα χρημάτων ἀποδόσεις πολυταλάντων
them negotiated of-money payments of-many-talents
ἀλαζονεῖαί τε καὶ κόμποι καὶ αὐχημάτων ἐγχωρίων
boastings both and vauntings and of-native boasts
κατάλογοι, δι᾽ ὧν καταπολιτεύονται οἱ ἀκούοντες.
lists by which are-out-maneuvered the(-ones) hearing

VIII · THE GERMAN TAX AND THE EMPERORS' TOMBS

Alexios agrees to buy peace and at Christmas parades his court in jeweled robes to dazzle the German envoys, who say the Romans should put on iron instead of gold. They ask fifty centenaria a year; the eparch Eumathios Philokales goes as envoy in his eparch's insignia and is laughed at; the sum is fixed at sixteen. To raise it Alexios levies the German tax on the provinces, asks the city's orders for a contribution, and, when the orders refuse and many protest his request for the churches' gold and silver offerings, strips the emperors' tombs of more than seventy centenaria of silver; even Constantine's coffin would not have been spared had thieves not already stolen its gold. The two officials who collected it soon die.

βασιλεὺς τοίνυν (ἦρχε δὲ ὁ νῦν ἱστορούμενος) μὴ
(the)-emperor therefore ruled and the(-one) now related not
ἔχων ἀπράκτους ἀποπέμψαι τοὺς πρέσβεις, κατένευσε
being-able unsuccessful to-send-away the envoys consented

χρημάτων τὴν εἰρήνην ἀλλάξασθαι, πρᾶγμα μήπω ἐς τόδε
for-money the peace to-exchange (a)-thing not-yet to this
καιροῦ γεγονός. ὑπεξᾶραι δὲ τὴν βασιλείαν Ῥωμαίων
of-time having-happened to-exalt and the empire of-(the)-Romans
ὡς πλουσίαν ὁ βασιλεὺς Ἀλέξιος προθέμενος ἐς οὐδὲν
as rich the emperor Alexios having-proposed for no
ἔργον τῷ καιρῷ συνᾷδον καθυπενήνεκται, ἀλλὰ καὶ
deed with-the time in-tune has-sunk but also
λίαν παρακεκινημένον τοῦ σεμνοῦ τε καὶ εὐπρεποῦς
very deviating from-the solemn both and seemly
καὶ ῥυὲν μικροῦ πρὸς Ῥωμαίων κατάγελων. τῆς γὰρ
and having-flowed by-little toward of-(the)-Romans derision of-the for
γενεθλίου ἐπιστάσης ἡμέρας Χριστοῦ αὐτός τε τὴν διάλιθον
birthday having-come day of-Christ himself both the jeweled
στολὴν ἠμφιάσατο, καὶ τοῖς λοιποῖς πᾶσιν ἐπετετάχει τὰς
robe put-on and to-the other all had-ordered the
χρυσοϋφεῖς περιθέσθαι καὶ πλατυσήμους ἐσθῆτας. οἱ δ'
gold-woven to-put-on and broad-bordered garments the and
Ἀλαμανοὶ τοσοῦτον ἀπεῖχον ἔκθαμβοι τοῖς δρωμένοις
Alamans so-much were-far-from astounded at-the(-things) done
τούτοις φανῆναι, ὥστε καὶ ἀνέθαλπον μᾶλλον τὸν
these to-appear that also they-rekindled rather the
ἔρωτα ὃν ὑπέτυφον ταῖς λαμπρειμονίαις τῶν Ῥωμαίων
love which they-smoldered by-the splendors of-the Romans
ἐναυόμενον, καὶ ηὔχοντο τάχιον κρατῆσαι Γραικῶν ὡς
kindled and prayed sooner to-master Greeks as
ἀγεννῶν τὰ ἐς πόλεμον καὶ περισπουδαζόντων τὰς
ignoble in-the(-things) for war and pursuing the
ἀνδραποδώδεις χλιδάς. πρὸς δὲ τοὺς συνεστῶτάς σφισι
slavish luxuries to and the standing-with them
Ῥωμαίους καὶ ἐνάγοντας ἐς τὴν τῶν λίθων ἄνθην ἀφορᾶν,
Romans and urging to the of-the stones bloom to-look-at

οἷς ὁ βασιλεὺς ὡς λειμὼν ἐνηγλάϊστο, καὶ χειμῶνος
with-which the emperor as (a)-meadow had-been-adorned and of-winter
μέσον χάριτας ἐαρινὰς δρέπεσθαι καὶ τὸν ὀφθαλμὸν
(in-the)-middle graces of-spring to-pluck and the eye
ἑστιᾶν, „οὐ χρείαν" ἔφασκον „Ἀλαμανοὶ τοιούτων ἔχουσι
to-feast not need said Alamans of-such have
θεαμάτων, οὔτε μὴν ἐπιτηδείων γυναιξὶν ἐμπορπημάτων
of-sights nor indeed of-fit for-women brooches
καὶ στολισμάτων φιλοῦσι θειασταὶ καθεστάναι, αἷς
and adornments love (as)-worshipers to-be-set for-whom
ἡ κονία καὶ κρήδεμνα καὶ ἐνώτια παμφανόωντα καὶ
the powder and veils and earrings all-shining and
τὸ ἀρέσαι τοῖς ἀνδράσι διαφερόντως ἀσπάζεται." ἀλλὰ
the to-please the men exceptionally is-welcomed but
καὶ Ῥωμαίους μορμολύττοντες „νῦν ἱκάνει καιρός" ἔλεγον
also (the)-Romans frightening now has-come (the)-time they-said
„μεθαρμοσθῆναι τῶν γυναικωδῶν ἐμπορπήσεων καὶ
to-be-changed from-the womanish brooches and
σιδήρῳ περισταλῆναι ἀντὶ χρυσοῦ. εἰ μὴ γὰρ τὰ
with-iron to-be-wrapped instead-of gold if not for the(-things)
τῆς πρεσβείας λήψονται πέρας καὶ πρὸς τὸ τοῦ κυρίου
of-the embassy will-receive (an)-end and to the of-the lord
σφῶν καὶ βασιλέως συμβαῖεν Ῥωμαῖοι βούλημα, ἀνάγκη
their and emperor should-agree (the)-Romans will necessity
τις ἔσται πάντως διὰ μάχης ἀνθρώποις χωρεῖν οἵτινες
some will-be wholly through battle with-men to-go who
οὐ λίθοις ὡς λειμῶνες περιανθίζονται, οὐδ' οἰδαίνονται
not with-stones as meadows are-flowered nor are-swollen
πρὸς ἦθος ἀγέρωχον μαργάρων σφαιρώμασιν πρὸς
toward character haughty with-pearls' spheres toward
φῶς διαγελώντων σελήνης, ἢ ταῖς ἐν θυάσοις μεθύουσι
(the)-light laughing-out of-(the)-moon or with-the in revels drunk

λίθαξιν, αἳ ὡς ἀλαζὼν ὄρνις ὁ Μηδικὸς πορφύρᾳ
stones which as (the)-boastful bird the Median with-purple
καὶ χρυσῷ περιχρώζονται, ἀλλ᾽ Ἄρεος ὄντες τρόφιμοι
and gold are-colored but of-Ares being nurslings
θυμοῦ μὲν πυρὶ τοὺς ὀφθαλμοὺς ἐρυθραίνονται τοῖς
of-wrath indeed with-fire the eyes are-reddened with-the
τῶν λίθων ἐπίσης ἀκτινώδεσιν, ἱδρῶτας δὲ θρομβοῦντες
of-the stones equally rayed sweats and curdling
ἐν τῷ μογεῖν πανημέρια ὑπὲρ στιλπνότητα μαργάρων
in the toiling all-day beyond (the)-luster of-pearls
αὐτοῖς καλλωπίζονται.” ἠρίθμουν δὲ καὶ τὰ ὑπὲρ εἰρήνης
on-them are-adorned they-counted and also the for peace
αἰτούμενα χρήματα εἰς χρυσίου πεντήκοντα κεντηνάρια
asked money at of-gold fifty centenaria
καθ᾽ ἕκαστον χρόνον διδόμενα. πρὸς ἅπερ ὁ βασιλεὺς
for each year given to which the emperor
ἀπαυδῶν πρέσβιν ἐς τὸν ῥῆγα πέπομφε τὸν Φιλοκάλην
refusing (an)-envoy to the king sent — Philokales
Εὐμάθιον, ἔπαρχον ὄντα τῆς πόλεως. οὗτος δὲ πλούτῳ
Eumathios eparch being of-the city this(-man) and in-wealth
ὑπὲρ τοὺς τότε κομῶν ἑκόντως ὑπέδυ τὸν πρεσβευτήν.
beyond the(-men) then priding-himself willingly entered the envoy(-role)
ἀμέλει καὶ δεῖται τοῦ βασιλέως μετὰ τῶν ἐπαρχικῶν
indeed also asks the emperor with the eparch's
παρασήμων ἐνδοθῆναί οἱ διαπρεσβεύσασθαι. καὶ βασιλεὺς
insignia to-be-allowed him to-go-as-envoy and (the)-emperor
ἐφόδιον ὅπερ ᾔτησε περιχαρῶς αὐτῷ παρασχόμενος
(the)-provision which he-asked joyfully to-him having-provided
οἰκείοις ὀψωνίοις τὴν προκειμένην παρῆκε στείλασθαι. ὅθεν
with-own provisions the set-before let to-be-sent whence
ἐποφθεὶς καινός τις καὶ ἔξαλλος πρεσβευτὴς οὐ μόνον
seen new some and strange envoy not only

οὐδέν τι παρὰ τοὺς πρότερον πρέσβεις τετίμητο, ἀλλὰ
nothing at-all beyond the former envoys had-been-honored but
καὶ γέλων ὤφλε τῷ ἀήθει τοῦ περιβλήματος. ἐπεὶ δὲ
also laughter he-incurred by-the unusualness of-the garment when and
τὰ τῆς εἰρήνης ἕνεκα δοθησόμενα χρήματα εἰς δέκα πρὸς
the of-the peace for-the-sake going-to-be-given money at ten besides
τοῖς ἓξ χρυσίου περιέστησαν κεντηνάρια, ὁ μὲν Φιλοκάλης
the six of-gold had-come-round centenaria — indeed Philokales
τὴν τούτων ἀποστολὴν κατὰ Σικελίαν ἐπέμενε προσδοκῶν
the of-these sending in Sicily awaited expecting
ἔνθα τῷ ῥηγὶ συνεγένετο, βασιλεὺς δὲ φάσκων ἀπορεῖν
where with-the king he-had-met (the)-emperor and saying to-be-at-a-loss
χρημάτων τάς τε χώρας ἐφορολόγει, τὸ καλούμενον
for-money the both lands taxed the called
εἰσπράττων Ἀλαμανικόν, τότε καινισθὲν πρώτως, καὶ τὸ
exacting Alamanikon then made-new first and the
τῆς πόλεως ἐκκλησιάσας πλήρωμα, τό τε γερουσιάζον καὶ
of-the city having-assembled fullness the both senatorial(-body) and
ὅσον τοῦ βήματος τρόφιμον καὶ ὅσον εἰς διαφόρους
as-much-as of-the sanctuary (is)-nursling and as-much-as into various
τέχνας καὶ ἐπιστήμας μερίζεται, ἔρανον ἀπήτει γενέσθαι
arts and sciences is-divided (a)-contribution demanded to-be-made
καὶ ἀπόδασμά τι καταθέσθαι τῆς οὐσίας ἕκαστον. ὁρῶν
and share some to-deposit of-the property each seeing
δὲ ὡς οὐδέν τι περαίνει ἀλλ' εἰκῇ τὰ τοιαῦτα μέτεισι,
and that nothing at-all he-accomplishes but at-random the such(-things) he-pursues
κενολογῶν ἀτεχνῶς, καὶ τοὺς πλείους δὲ κραυγασοὺς καὶ
talking-emptily simply and the most and clamorous and
στασιώδεις εὑρίσκων οἷα μηδαμῶς ἀνεκτὰ ἡγουμένους τὰ
seditious finding as in-no-way bearable thinking the
φορτικὰ ταῦτα καὶ ἀήθη ἐπιτάγματα, ὑπό τινων δὲ
burdensome these and unaccustomed orders by some and

καὶ λογιστευόμενος ὡς τὰ κοινὰ κατασπαθῶν καὶ
also being-reckoned that the common(-goods) squandering and
τοῖς συγγενέσι τὰς ἐπαρχίας διανειμάμενος ἀχρείοις οὖσι
to-the kinsmen the provinces having-distributed useless being
πᾶσι καὶ ἀπεσβεσμένοις τοὺς λύχνους τοῦ σώματος, τῆς
all and quenched (in)-the lamps of-the body from-the
μὲν προθέσεως ταύτης μεθ' ὅλης συντονίας ἀπῆρε, μικροῦ
indeed purpose this with all intensity set-off by-little
μηδ' αὐτὸς εἶναι διατεινόμενος ὁ τὸ σκέμμα τότε
not-even himself to-be insisting the(-one) the plan then
εἰσενεγκάμενος, ἑτέραν δὲ τραπόμενος ᾐτεῖτο τῶν χρυσέων
having-brought-in another and having-turned he-asked-for of-the golden
καὶ ἀργυρέων ἀναθημάτων ὁπόσα ἐκτὸς τοῦ βήματος,
and silver offerings as-many-as outside the sanctuary
τιμῶν, καὶ τούτων ἀνομοίων, λυσσώδης καὶ ἀπέραντος
honors and these unlike frantic and endless
λίχνευσις καὶ τῶν χθαμαλωτέρων αὐτὸν ἐξέκρουσε, καὶ
greed also from-the humbler(-ones) him knocked-out and
προὔθηκεν εἰς παράδειγμα τὸν αὐτὸν ὕψους ὑπερφυοῦς
set-forth for (an)-example the same(-man) of-height extraordinary
καὶ ταπεινότητος ἀμέτρου ἡ τοῖς ἀνθρωπίνοις πράγμασι
and of-lowliness measureless the over-the human affairs
βραβεύουσα πρόνοια, καὶ ἀναβὰς ἕως τῶν οὐρανῶν
presiding providence and having-gone-up to the heavens
καταβέβηκεν ἕως τῶν ἀβύσσων τῇ παλιμπνοίᾳ τῶν
he-has-gone-down to the abysses by-the reversal of-the

πράξεων. οὐκ ἀνασχετὰ γὰρ κρίνων εἰ μὴ τῇ λαιᾷ μὲν
affairs not bearable for judging if not with-the left indeed
τῶν ἱερῶν ἔχοιτο πραγμάτων τῇ δεξιᾷ δὲ τῶν
the holy he-should-hold affairs with-the right and the(-affairs)
κατὰ τὰ ἀνάκτορα λάζοιτο, συμμάρπτων τὰς ἀρχὰς
of the palace should-grasp seizing-together the rules
ἀμφοτέρας καὶ περισφίγγων ὅσα καὶ λίθος τῶν διεστώτων
both and binding-round just-as also (a)-stone of-the separated(-things)
συνδέτης ἀκρόγωνος, ἀμεταθέτως εἶχε καὶ πάλιν τῆς
(a)-binder cornerstone unchangeably he-held also again to-the
πρώην προθέσεως. ἀλλὰ μηδ' ἄτερ τῆς αὐτοῦ γνώμης
former purpose but not-even without the his mind
περατοῦσθαί τι βουλόμενος, ὡς σφῆνάς τινας καὶ βλῆτρα
to-be-accomplished anything wishing as wedges some and bolts
τοὺς ἑαυτοῦ κασιγνήτους ἐνέβυσε τῇ ἀρχῇ, ἢ ὡς ἐνώτια
the his-own brothers he-stuffed-into the rule or as earrings
ταῖς τοῦ βασιλέως ἑκατέραις ἀπηώρησεν ἀκοαῖς, ἵν' εἴ
on-the of-the emperor both he-hung ears so-that if
ποτε τῇ ἐκκλησίᾳ παραβάλλων τῇ συνόδῳ συγγίνοιτο,
ever to-the church going the synod he-should-attend
μηδὲν εἴη διαπραχθὲν ἢ καὶ λεχθὲν ἀφώρατον, μηδὲ
nothing should-be done or also said undetected nor
λάθῃ τις αὐτὸν εἰς τὸν ἐκείνου χῶρον παρεισιών.
should-escape-notice anyone him into the his place slipping-in
οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν Θεσσαλονίκην ἀφικόμενος,
not indeed but also to — Thessalonike having-arrived
καὶ μικρόν τι φανεὶς καὶ ὅσον ἐνιδρυθῆναι
and little something having-appeared and as-much-as to-be-installed
τῷ θρόνῳ, ἐς τὸ Βυζάντιον αὖθις πτηνὸς ἀνέζευξε, μὴ
on-the throne to — Byzantium again winged he-returned not
περιβλέψας εἰς τὰ ὀπίσω μηδὲ στὰς ἐν πάσῃ
having-looked-around to the(-things) behind nor having-stopped in all

τῇ περιχώρῳ, καὶ κατ᾽ αὐτὸ μὲν δὴ τοῦτο ὑπερόπτης
the surrounding-country and in very indeed indeed this(-point) disdainful
τῶν ἁπάντων γενόμενος, ὅτι τὰ πάντα τῷ δακτύλῳ
of-the all having-become because the(-things) all with-the finger
μετῆγέ τε καὶ ἔφερε, μάλιστα δ᾽ ὅτι τοῦ βασιλέως
he-moved both and carried especially and because the emperor
κατὰ τοῦ Χρύσου αὖθις ἐξωρμηκότος αὐτὸς ἐς ὅσα τῷ
against — Chrysos again having-set-out himself for as-much-as to-the
βασιλεῖ πρὸς βουλῆς τὰ κατὰ τὸν ἀποστάτην τοῦτον
emperor from counsel the(-things) about the rebel this
διῳκηκὼς ἔδοξε τακτικαῖς ἐνδέξιος ἐπιβαλεῖν ὑποθέσεσι
having-managed seemed in-tactical dexterous to-apply-himself matters
καὶ ἀτεχνῶς βασίλειον ἱεράτευμα. ὅθεν ὅπερ ἐπὶ τῶν
and simply (a)-royal priesthood whence what in-the-case-of the
σωματικῶν ἕξεων ὁ Κῷός φησι ποιητής, ὡς εἰς τὸ ἄκρον
bodily conditions the Coan says poet that to the peak
προελθοῦσαι φιλοῦσι πρὸς τὸ κάταντες ὡς φιλυπόστροφοι
having-advanced they-are-wont to the downhill as fond-of-reversal
μεταφέρεσθαι, μὴ ἀτρέμας ἔχουσαι μένειν τῷ συνεχεῖ
to-be-carried not quietly being-able to-remain by-the continuity
ἀεὶ τῆς κινήσεως, τοῦτο καὶ ἐπὶ τῷ Μεσοποταμίτῃ
always of-the motion this also in-the-case-of — Mesopotamites
συμπέπτωκεν ἄντικρυς· ἀεὶ γὰρ τοῦ προβαίνειν πειρώμενος
has-befallen outright always for to-the advancing trying
καὶ μηδένα τοῦ δοξοθηρεῖν εἰδὼς κόρον, ἔλαθεν ὡς
and no of-the glory-hunting knowing satiety he-escaped-notice as
ὁ μυθικὸς κώνωψ ὁ λέοντι συμπλακεὶς ἀραχνίῳ
the mythical gnat the(-one) with-(a)-lion having-grappled by-(a)-spider's-web
λεπτῷ συλληφθεὶς καὶ πᾶσαν ἐπαναλύσας δόξαν δι᾽
thin caught and all retracing glory through
ἀτιμίας, ἣν περισπερχῶς ἀνώδευσε πρότερον, κατὰ
dishonor which hotly he-had-climbed formerly according-to

τὸ ψαλτῴδημα τοῦ Δαβὶδ „κύψας ἦν καὶ πεσὼν ἐν
the psalm — of-David having-bowed he-was and fallen in
τῷ κατακυριεῦσαι τῶν τότε πενήτων γνώσεως.” ἐς γὰρ
the to-lord-it over-the then poor of-knowledge to for
φατρίαν οὐ μετρίαν ἀθροισθέντες καὶ κοινῇ συνελθόντες
(a)-faction not moderate having-gathered and in-common having-come-together
ὁπόσων αὐτὸς ταῖς κεφαλαῖς κατὰ τὴν τῆς κωμῳδίας
as-many-as himself on-the heads like the of-the comedy
ψύλλαν ἐφήλατο καὶ οὓς μικροῦ κατὰ κόρρης ἐρράπιζεν
flea leapt and whom by-little on (the)-cheek he-slapped
ὡς ἀνδράποδα, καί τινας οὐχ ὑγιεῖς κατ’ αὐτοῦ κατηγορίας
as slaves and some not sound against him accusations
ὡς ἀφυσγετὸν ἠθροικότες προσίασι βασιλεῖ, καὶ τὸ αὐτοῦ
as (a)-mass-of-mud having-gathered approach (the)-emperor and the his
εὐένδοτόν τε καὶ ῥᾴδιον παντὶ καθυπάγεσθαι ῥήματι
compliance both and easy to-every to-be-led word
συνέριθον πρὸς τὸ ἔχθος εὑράμενοι κατέδραμον γενναίως·
(as)-accomplice for the enmity having-found they-ran-him-down nobly
καὶ τὸ ἐντεῦθεν οὐ μόνον τῶν ἀνακτόρων ἐκτοπίζεται ὡς
and the thence not only from-the palace he-is-removed as
σφαῖρά τις εὐπερίγραπτος διαφεθεῖσα ἰσχυρῷ μηχανήματι,
ball some well-rounded let-fly by-(a)-strong engine
ἀλλὰ καὶ τῆς ἀρχιερωσύνης ἐξοστρακίζεται, ἑνός τινος
but also from-the high-priesthood he-is-ostracized one some(-one)
προκοιλίου ἐς ἀγορητὴν ἐπιλέγδην παρὰ τῶν ὅλων
big-bellied as spokesman by-choice by the whole
προβληθέντος, λέγω δὴ τοῦ τότε δουκὸς τοῦ στόλου
put-forward I-mean indeed the then duke of-the fleet
Μιχαὴλ τοῦ Στρυφνοῦ, ᾧ καὶ μᾶλλον ὁ Μεσοποταμίτης
Michael the Stryphnos to-whom also rather — Mesopotamites
ἀντεπολιτεύετο ὡς καὶ ὑπὲρ πάντας ὄντι φιλοκερδεῖ καὶ
was-politically-opposed as also beyond all being greedy and

τὰ κοινὰ νοσφιζομένῳ καὶ χανδὸν καταβροχθίζοντι
the common(-goods) embezzling and gapingly gulping
χρήματα. πλὴν ἀλλὰ τοῦτο μὲν οὐ πάνυ δεινόν, καίπερ
money however but this indeed not very terrible though
ὂν δεινόν, τό τινας ἀβασανίστως καὶ ἄλλης μὲν
being terrible the some(-men) without-examination and of-other indeed
ὑπηρεσίας ἀδίκου γλώττης ἀπάγεσθαι πάρεργον, μάλιστα
service of-unjust tongue to-be-led-off (a)-side-work especially
δ' ἀποπίπτειν τοῦ τῆς ἱερωσύνης μεγίστου χρήματος.
and to-fall from-the of-the priesthood greatest thing
ἐκεῖνο δὲ καὶ λίαν ἀσύγγνωστον καὶ πολλὴν ἀβελτηρίαν
that and also very unpardonable and much stupidity
τῶν δεδρακότων κατηγοροῦν. δεῆσαν γὰρ ἕτερον
of-the(-ones) having-done(-it) accusing (it)-having-been-needful for another
ἀρχιερέα ψηφισθῆναι Θεσσαλονίκης, ἡ τοῦ Μεσοποταμίτου
high-priest to-be-voted of-Thessalonike the — of-Mesopotamites
καθαίρεσις κατ' ἐρήμην προτίθεται πρὸς ἐξέτασιν. καὶ
deposition in absence is-set-forth for examination and
ὡς ἔδοξαν σκάζοντά τε καὶ μὴ ἐρρωμένα τῶν ἐν αὐτῇ
as they-seemed limping both and not strong of-the in it
κεφαλαίων τινὰ πρὸς ἀρχιερωσύνης ἀφαίρεσιν, ὁ δὴ
charges some for of-high-priesthood removal the indeed
πατριάρχης εἴτε βασιλείῳ ὑπείκων κελεύσματι, εἴτε τῷ
patriarch whether to-imperial yielding command or by-the
πρὸς τὸν Μεσοποταμίτην ἔχθει φρονεῖν οὐκ ἔχων τὰ
toward — Mesopotamites enmity to-think not being-able the(-things)
καίρια, εἴθ' ἑτέρως καθ' ὃν οὐκ ἴσημι λόγον ἐκκρουσθεὶς
timely or otherwise by which not I-know reason knocked-out
τοῦ καθήκοντος, τινὰς τῶν ἀρχιερέων ἀγηοχὼς καὶ
of-the duty some of-the high-priests having-gathered and
δικαστὰς αὐτῷ συνεδριάσας, ὁπόσοι κακόσχολοι καὶ τὴν
(as)-judges with-him having-seated as-many-as (were)-malicious and the

ἐκ βασιλέως εὔνοιαν ὅλῳ ποδὶ καὶ συντόνῳ προθυμίᾳ
from (the)-emperor goodwill with-whole foot and with-intense eagerness
μεταδιώκοντες, μεταλλοιοῖ τὴν καθαίρεσιν, καὶ παρέντα
pursuing alters the deposition and omitted
τινὰ τῷ τόμῳ προσθεὶς αἰτιάματα ἐκ τοῦ δήπουθεν
some to-the tome having-added charges from the surely
ἀναμφηρίστου πάσης ἱερᾶς ἀποξενοῦντα λειτουργίας τὸν
indisputable from-every holy estranging liturgy the(-one)
τούτοις ἁλόντα τῷ χαρτοφυλακίῳ ἀποτίθησιν, ἐκδοὺς
by-these convicted in-the archive deposits having-issued
ἔκτοτε καὶ τῷ Χρυσάνθῳ ἀντίγραφον, ὃς τῆς Θεσσαλονίκης
thenceforth also — to-Chrysanthos (a)-copy who — of-Thessalonike
ἐνεχειρίσθη τοὺς οἴακας. κἀπὶ τοῖς τελεσθεῖσι τούτοις
was-entrusted-with the rudders and-at the(-things) accomplished these
δέον ἐγκαλύπτεσθαι, τῶν δέ τινες καὶ ἐπεσκίρτων,
(it)-being-needful to-hide-one's-face of-them and some also leapt-for-joy
ὡς εἴπερ πολεμίων ἐθνῶν ὑπόπτωσις ἐντεῦθεν κατώρθωτο,
as if of-enemy nations (a)-subjection hence had-been-achieved
ἢ θηρίον δυσάλωτον πόλεις ἐξερημοῦν καὶ τοὺς κατοίκους
or (a)-beast hard-to-catch cities laying-waste and the inhabitants
διαφθεῖρον καὶ πρὸς χρόας ἀνομοίους μεταλλαττόμενον,
destroying and to colors unlike changing
ὁποῖα τὰ Λιβυκά φασιν, ἢ ὁ παρὰ τῷ Ἰὼβ ἀνάλωτος
such-as the Libyan they-say or the in — Job uncatchable
δράκων συνείληπτο, καὶ ὁ βορὸς μυρμηκολέων ἀπώλετο,
dragon had-been-caught and the devouring ant-lion perished
εἴτε μὴν ἡ πολυθύσανος αἰγὶς καὶ δειματώδης ἐκείνοις
or indeed the many-tasseled aegis and terrifying to-them
εἰς χάος ἐλήλαται καὶ διέσπασται. καὶ οὕτω μὲν ὁ
into chaos has-been-driven and torn-apart and thus indeed —
Μεσοποταμίτης Κωνσταντῖνος καὶ οἱ τούτου δύο κασίγνητοι
Mesopotamites Constantine and the his two brothers

τῶν κοινῶν ἐκκρούονται διοικήσεων, ἀντεισάγεται δ'
from-the common are-knocked-out administrations is-brought-in-instead and
ἕτερος περὶ τὰς κοινὰς διοικήσεις οὐκ ἐνδέων τοῦ ἀκριβοῦς,
another for the common administrations not lacking of-the exact
χαρίεις τὸ ἦθος, μάλα τε τοὺς λόγους ἀποτορνεύειν
charming in-the character very both the words to-turn
εἰδὼς καὶ ἀπομηκύνειν εἰς περιόδους ῥητορικῶς· ὁ
knowing and to-lengthen into periods rhetorically —
Εἰρηνικὸς ἦν οὗτος Θεόδωρος, καὶ παρεῖχεν ἑαυτὸν τοῖς
Eirenikos was this(-man) Theodore and offered himself to-the
πᾶσι κατάλληλον. συνέζευκται δέ τις ἐκείνῳ καὶ τῶν
all suitable was-yoked and someone with-him and of-the
πόνων συνελαμβάνετο φιλοχρηματῶν ἱκανῶς καὶ βηχὶ
labors took-part loving-money sufficiently and by-(a)-cough
συνεχεῖ κάτοχος. ἀμφότεροι οὖν ταῖς πολιτικαῖς ἐπεστάτουν
continuous possessed both then the civic presided-over
πράξεσι. πλὴν τὸ τοῦ Μεσοποταμίτου πτῶμα μηδαμῶς ἐν
affairs however the — of-Mesopotamites fall in-no-way in
γέλωτι ἔχοντες, ἀλλὰ διὰ παντὸς προορώμενοι καὶ τὸ
laughter holding but through all foreseeing and the
τοῦ κράτους εὔκολον ὑφορώμενοι οὐκ ὄρθιοι καὶ ἀκλινεῖς,
of-the power fickleness suspecting not upright and unbending
ὡς οἱ ἀκράδαντοι τῶν ἱπποτῶν, κατά τε πρανῶν καὶ
as the unshaken of-the horsemen down both slopes and
ὀρθίων ἐφέροντο, ἀλλὰ τὸ δυναστεῦον ὑποποιούμενοι
steeps were-carried but the(-thing) holding-power courting
ἀνεῖργόν τε καὶ ἀνεσείραζον ἀεὶ τὴν ἰσχύν, καὶ πολλὰ
restrained both and reined-in always the strength and many
τῶν δεόντων παρέτρεχον τὴν ἀπόβασιν εὐλαβούμενοι.
of-the needful(-things) passed-over the outcome fearing

In Alexios' third year Kaichosroes seizes two Arab horses sent to the emperor from Alexandria. Alexios imprisons the merchants of Ikonion, and the sultan raids the Maeander, enslaves Karia and Tantalos, and would have taken Antioch had wedding music in the night not made him fear an army. He has his captives registered, restores to each what he lost, feeds them, cuts firewood with his own axe, and settles five thousand at Philomelion with land and seed, tax-free for five years, so that Romans prefer life among the barbarians. Andronikos Doukas raids Turkish herds; Alexios goes to Nicaea and Prousa, returns, and gathers the armies at Kypsella in spring.

Ἐν τούτοις μὲν οὖν καὶ τοιούτοις παραπλησίοις ἐνιαυτὸς
in these indeed then and such similar(-things) (a)-year
ἐξίκετο τρίτος ἄρχοντι Ῥωμαίων Ἀλεξίῳ τῷ Κομνηνῷ.
came third ruling (the)-Romans Alexios the Komnenos
τὰ δ' ἐφεξῆς οὐδὲν ἀντιστατοῦντα τοῖς προτέροις·
the(-things) and next nothing opposing to-the former(-ones)
δίαιτα γὰρ ἦν ἡ αὐτὴ καὶ πάλιν καὶ βίος χαλαρὸς
(the)-regimen for was the same also again and life slack
καὶ ἐξημβλυμένον φρόνημα ἀεί. τότε δὲ καὶ αἱ εἰρηνικαὶ
and blunted spirit always then and also the peaceful
σπονδαὶ παρωράθησάν τε καὶ συνεχέθησαν ἃς εἶχε
treaties were-overlooked both and confounded which had
βασιλεὺς ἐκτελέσας μετὰ Πέρσου τοῦ διέποντος τὸ
(the)-emperor having-concluded with Persian the(-one) governing —
Ἰκόνιον. ὁ μὲν γὰρ Καϊχοσρόης (τοῦτο γὰρ ἦν ὄνομα τῷ
Ikonion — indeed for Kaichosroes this for was (the)-name for-the
βαρβάρῳ) δύο Ἄραβας ἵππους ἐκ τοῦ σουλτὰν τῆς κατ'
barbarian two Arab horses from the sultan of-the in
Αἴγυπτον Ἀλεξανδρείας τῷ βασιλεῖ στελλομένους ἀφείλετο.
Egypt Alexandria to-the emperor being-sent took-away

τοίνυν καὶ θατέρῳ τούτων τὸ γόνυ ἐξαρθρωθέντι ἐν τῷ
therefore also of-the-other of-these the knee dislocated in the
πρὸς δρόμον ἀνίεσθαι πέμψας εἰς βασιλέα συγγνώμην
for (a)-race to-be-let-go having-sent to (the)-emperor pardon
ᾐτεῖτο, ὅτι τε ὅλως εἰς αὐτὸν διαβαίνοντας ἵππους ἔσχεν
asked because both at-all to him passing horses he-held
ἰδιωσάμενος, καὶ ὅτι περ ἡ τοῦ ἑνὸς ἀχρείωσις καὶ τὴν
having-appropriated and because indeed the of-the one uselessness also the
ἑτέρου ἀποστολὴν πεποίηκεν ὑποστείλασθαι· πάντως δὲ
of-the-other sending made to-hold-back wholly and
φροντιεῖν τοῦ τῷ φίλῳ ἀνεπαχθοῦς καὶ τοῦ μὴ τῶν
he-will-take-thought for-the to-the friend inoffensive and for-the not of-the
ἵππων ἐς μακρὸν στέρεσθαι. καὶ ὁ μὲν ἐφ' οἷς ἔδρασεν
horses for long to-be-deprived and he indeed for what he-did
εὐπρόσωπον οὕτως ἠγόρευε τὸν ἀπόλογον· ὁ δὲ μήτε τὸ
plausible thus spoke the defense he and neither the
μεγαλόψυχον ἐπαινέσας μήτε μὴν τὴν ἀνάγκην τρέψας
magnanimity having-praised nor indeed the necessity having-turned
εἰς τὸ φιλότιμον, ἢ γοῦν ἐν νῷ βαλλόμενος τὸν καιρὸν
to the generous or at-least in mind casting the time
βαρὺν ἐνστάτην ἀεὶ αὐτῷ ἐφιστάμενον καὶ πρὸς πνῖγμα
(a)-heavy opponent always to-him standing-over and to choking
ἐπὶ πᾶσι κατασχόντα, ὡς πρῖνος αὐτίκα καιόμενος τῷ
in all having-held as (a)-holm-oak at-once burning with-the
θυμῷ ὑπεβρόντα. πλὴν ἕτερον μὲν οὐδέν τι γενναῖον
wrath he-thundered however other indeed nothing at-all noble
πρὸς ἀντιλύπησιν τοῦ Πέρσου συνεώρακε διαπράξασθαι,
for retaliation against-the Persian perceived to-do
καθ' ἑαυτοῦ δὲ στρατεύεται ἀτεχνῶς καὶ τὸ ξίφος τῷ
against himself and campaigns simply and the sword for-the
τέως κρυπτόμενον ἀναδείκνυσι. τοίνυν ἐπιτάττει φυλακαῖς
meanwhile hidden displays therefore he-orders in-prisons

ἐνειρχθῆναι καὶ τὰ ὄντα πάντα ἀφαιρεθῆναι ὁπόσοι
to-be-shut-up and the(-things) being all to-be-taken-away as-many-as
Ῥωμαῖοί τε καὶ Τοῦρκοι πραγματευταὶ τοῦ Ἰκονίου
Romans both and Turks traders — of-Ikonion
ἀπάραντες τὸ Βυζάντιον ἐπεισῄεσαν. καὶ τὰ μὲν ἐκείνων
having-set-out — Byzantium had-entered and the indeed their
ἐμπορεύματά τε καὶ ὑποζύγια οὔτ' αὐτὸς εἶχεν ὡς δέον
merchandise both and pack-animals neither himself had as needful
οἰκειωσάμενος, οὔτ' ἐναπέλειψεν ἐκείνοις· ἄλλα γὰρ
having-appropriated nor left to-them other(-things) for
ἄλλοις καὶ πάνθ' ὁμοῦ διεσκέδαστο καὶ ἠφάνιστο· ὁ
others and all at-once had-been-scattered and had-vanished the
δὲ βάρβαρος τὸ συμβὰν ἐνωτισάμενος, μηδέν τι
and barbarian the(-thing) having-happened having-heard nothing at-all
τῆς προθυμίας καθυφεὶς μήτε μὴν εἰς δευτέραν βλέψας
of-the eagerness having-relaxed nor indeed to (a)-second having-looked
πρεσβείαν, κατὰ Ῥωμαίων ὅπλα βαστάζει, καὶ προσπεσὼν
embassy against (the)-Romans arms takes-up and having-fallen
ἀπροσδόκητος ταῖς κατὰ Μαίανδρον κωμοπόλεσι Καρίαν
unexpected on-the on (the)-Maeander towns Karia
τε καὶ Τάνταλον καθ' ἡλικίαν ἠνδραποδίσατο, καὶ πόλεις
both and Tantalos by age-group enslaved and cities
ἄλλας ὅτι πολλὰς λῃϊσάμενος πρὸς αὐτὴν ἠπείγετο
other very many having-plundered to itself hastened
τὴν κατὰ Φρυγίαν Ἀντιόχειαν. καὶ τάχ' ἂν ἐξεῖλε
the in Phrygia Antioch and perhaps — would-have-taken
καὶ ταύτην ὥσπερ χθιζὰ Καρίαν καὶ Τάνταλον, εἰ μὴ
also this as yesterday Karia and Tantalos if not
παρὰ δόξαν ἐπέστη τῷ βαρβάρῳ πρὸς τὸ ὀξὺ τῆς
beyond expectation befell the barbarian against the sharpness of-the
σκυλεύσεως οὐκ ἐκ προνοίας τινὸς ἀνθρωπίνης ἀλλά πως
spoiling not from forethought some human but somehow

αὐτομάτως ἢ καὶ θεόθεν παρεισπεσόν τι συγκύρημα. ὁ
by-chance or also from-God having-fallen-in some coincidence he
μὲν γὰρ νύκτωρ ἐξαναστὰς κατὰ κράτος εἰς Ἀντιόχειαν
indeed for by-night having-risen with all-speed to Antioch
ἤλαυνεν, ἐπιθησόμενος ὄρθριος καὶ πορθήσων τὸ πόλισμα·
drove going-to-attack (at)-dawn and going-to-sack the town
ἔτυχε δ' ἡμέρας ἐκείνης τῶν παρὰ τῇ πόλει
it-chanced and (on)-day that of-the(-ones) in the city
δυναμένων τινὰ θύειν γάμους θυγατρί. ἦν οὖν,
powerful someone to-celebrate (a)-wedding for-(a)-daughter there-was then
ὡς ἐν ταῖς τοιαύταις εἴθισται τελεταῖς, ὅμαδος ἀνθρώπων
as in the such is-customary rites (a)-din of-men
θαλιαζόντων, κύμβαλά τε δι' ὅλης τῆς νυκτὸς ἐκείνης
feasting cymbals both through whole the night that
ἀλαλάζοντα καὶ τύμπανα περικτυπούμενα καὶ ὀρχησταὶ τὼ
clanging and drums beaten-round and dancers the
πόδε παρενσαλεύοντες καὶ χοροὶ γυναίων τοῖς ὑμεναίοις
two-feet shaking and choirs of-women to-the wedding-songs
πρόσφορα ᾄδοντες. ὡς οὖν ἤγγισε τῇ πόλει Καϊχοσρόης,
fitting singing as then drew-near to-the city Kaichosroes
τῶν ὀργάνων ἁρμονίαν εἰς ὦτα δεξάμενος καὶ τῆς
of-the instruments (the)-harmony into ears having-received and the
συμφωνίας τῶν ᾀδόντων ἀκροασάμενος οὐχὶ τοῦ
concord of-the(-ones) singing having-heard not the(-thing)
ὄντος κατεστοχάσατο, ἀλλ' ἀνδρῶν ἡτοιμασμένων πρὸς
being he-guessed but of-men prepared for
πόλεμον συνθήματα εἶναι ταῦτα ὑπολογισάμενος, τὴν
war signals to-be these(-sounds) having-reckoned the
ἐκείνου προεγνωκότων ἔφοδον, ᾤχετο ἐκεῖθεν καὶ πρὸς
his having-foreknown attack went thence and to
τὴν Λάμπην ἀφίκετο. ἔνθα δὴ ἀπογραφεῖς ἐπιστήσας
— Lampe arrived where indeed registrars having-set-over

τῶν αἰχμαλώτων περί τε τῆς πατρίδος ἕκαστον καὶ
of-the captives about both the fatherland each and
τῆς κλήσεως ἐπυνθάνετο, καὶ ὅστις ὁ συλλαβὼν
the name he-inquired and who the(-one) having-seized(-him)
ἀνηρώτα, καὶ εἴ τι τῆς οὐσίας ἀπολωλέκει, καὶ εἰ
he-asked and if anything of-the property he-had-lost and if
παῖς ἢ θυγάτριον ἢ ἄλοχος ὑπό του τῶν Περσῶν
(a)-child or (a)-little-daughter or (a)-wife by some(-one) of-the Persians
ἀποκέκρυπται. καὶ τοιαύτην ἔκταξιν ποιησάμενος, πάντα
has-been-hidden and such (a)-muster having-made all(-things)
ἀποδοὺς Ῥωμαίοις καὶ κατὰ φῦλα καὶ συγγενείας
having-restored to-(the)-Romans and by tribes and kindreds
πάντας ἀπομερίσας, τῆς ἐπὶ τὰ πρόσω εἶχετο.
all having-divided to-the(-road) toward the forward(-parts) held
συγκεκεφαλαίωτο δὲ ἡ τῶν ἀνδραποδισθέντων πληθὺς
had-been-summed-up and the of-the enslaved multitude
εἰς πέντε χιλιάδας ἀνθρώπων. ἐν δὲ τῇ ἀπαγωγῇ ταύτῃ
at five thousands of-men in and the leading-off this
ἐμέλησε τῷ βαρβάρῳ καὶ ὅπως τῶν ζωαρκῶν μὴ
it-was-a-care to-the barbarian also how of-the provisions not
σπανίζωνται οἱ αἰχμάλωτοι, καὶ σῖτον αὐτοῖς διαδοὺς
should-lack the captives and grain to-them having-distributed
οὐδὲ τὸ τῆς ὥρας ψῦχος παρῆκεν ἀνήκεστον· πέλεκυν
not-even the of-the season cold he-let-pass incurable (an)-axe
γὰρ ἐγχείριον ἔχων καὶ αὐτουργῶν ἐς σχίδακας διῄρει,
for in-hand having and working-himself into splinters divided
τυχὸν οὕτω, χρόνῳ ἀνατραπὲν γεράνδρυον. ἀλλὰ καὶ
perhaps thus by-time overturned old-tree but also
τοῖς συνδραμοῦσι πρὸς τὴν θέαν Πέρσαις ὁμοίως δρᾶν
to-the having-run-together for the sight Persians likewise to-do
ὑπετίθετο, προσεπάγων ἅμα καὶ ὑποβάλλων τὸ τῆς
he-suggested adding at-once also suggesting the of-the

ἐργασίας αἴτιον καὶ τὸ πρὸς τί εὔχρηστον αὐτοῖς
work cause and the for what useful to-them
ἐπιλέγων· Πέρσαις μὲν γὰρ ἐξεῖναι διὰ παντὸς ἐξιέναι
saying Persians indeed for to-be-permitted through all to-go-out
τῆς παρεμβολῆς καὶ ξυλεύεσθαι, ὅτι μηδ' ἔσται τις
of-the camp and to-gather-wood because not-even will-be anyone
αὐτοῖς προσιστάμενος, Ῥωμαίοις δὲ οὐχί, φυλαττομένοις
to-them opposing to-(the)-Romans and not being-on-guard-against
τὸ μὴ δοκεῖν ἀποδιδράσκειν καὶ τὰ ἐκ τοῦδε ὑφορωμένοις
the not to-seem to-run-away and the from this suspecting
ὡς φυγάσιν ἐπικεισόμενα δεσμά. ἐπεὶ δὲ τὸ Φιλομήλιον
as on-fugitives going-to-be-laid bonds when and — Philomelion
κατέλαβεν, ἐπαύλεών τε μετέδωκε καὶ γῆς ἐπεμέτρησε
he-reached dwellings both he-gave and of-land measured-out
μέρος πρὸς ἐργασίαν ἀγαθῆς, σῖτόν τε αὖθις διέδωκε καὶ
(a)-part for working good grain both again distributed and
ὅσα τῶν ἡμέρων καρπῶν σπόριμα. ναὶ μὴν ἐλπίδων
as-many-as of-the cultivated fruits (are)-seeds yes indeed with-hopes
χρηστῶν ἐνέπλησε, τέλος εἰπὼν ὡς αὐτοῦ καὶ βασιλέως
good filled finally having-said that he and (the)-emperor
αὖθις φιλιωθέντων καὶ πρὸς τὰς πρότερον σπονδὰς
again having-become-friends and to the former treaties
ἀπιδόντων προῖκα καὶ αὐτοὶ τὴν οἴκαδε ἐπάνοδον ἕξουσιν·
having-looked freely also themselves the home return will-have
εἰ δέ τι ἕτερον μεταβουλεύσεται βασιλεύς, ἐπὶ πέντε
if and anything else will-change-his-plan (the)-emperor for five
ὅλοις ἐνιαυτοῖς ἀδασμολόγητοι καθεδοῦνται, μηδένα τὸν
whole years untaxed they-will-sit no the(-one)
ὁποιονοῦν ἀπόδομα εἰσπράττοντα ἔχοντες, μετέπειτα δὲ
any payment exacting having afterward and
καταβαλοῦνται ὃν αὐτὸς ἀνεπαχθῆ διατάξαιτο σφίσι
they-will-pay which himself inoffensive should-ordain for-them

φόρον, οὐχ ὑπερβαίνοντα τὸν ὅρον, ὡς εἴθισται Ῥωμαίοις,
tribute not exceeding the limit as is-customary for-(the)-Romans
οὐδὲ πρὸς τὸ πολλαπλάσιον κορυφούμενον. καὶ ὁ μὲν
nor to the manifold heaped-up and he indeed
ταῦτα οὕτω διατεταχὼς ἐπανῆκε πρὸς τὸ Ἰκόνιον· τὸ
these(-things) thus having-ordained returned to — Ikonion the
δὲ φιλάνθρωπον τοῦτο διάγγελμα οὐδένα τῶν αἰχμαλώτων
and humane this message none of-the captives
πατρίδος ἀφῆκε μνήσασθαι, ἀλλὰ καὶ πρὸς πολλοὺς
of-fatherland let to-remember but also to many
ὁπόσοι πρὸς Περσῶν οὐχ ἑάλωσαν ἐς τὸ Φιλομήλιον
as-many-as by Persians not were-taken to — Philomelion
ἐφειλκύσατο, ἀκηκοότας ὅσα τοῖς καθ' αἷμα καὶ
drew having-heard as-much-as to-the(-ones) by blood and
πατριώταις ὁ Πέρσης εἰργάσατο. οὕτως ἐκ τῆς τῶν
compatriots the Persian did thus from the of-the
εἰς ἡμᾶς Ῥωμαίων γενεᾶς οὐχ ὅπως ἐκλέλοιπεν
down-to us Romans generation not only has-failed
ὅσιος καὶ ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀλλὰ καὶ διὰ
(the)-holy(-man) and were-diminished the truths but also because-of
τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἀπεψύγη τῶν πολλῶν ἡ
the to-have-been-multiplied the lawlessness grew-cold of-the many the
ἀγάπησις, ὡς τὴν παρὰ βαρβάροις ἀποικίαν πόλεις ὅλας
love so-that the among barbarians settlement cities whole
Ἑλληνίδας ἑλέσθαι καὶ τῆς πατρίδος ἀσμένως ἀλλάξασθαι·
Greek to-choose and for-the fatherland gladly to-exchange
αἱ γὰρ συχναὶ τυραννίδες τό τε ὑπ' ἀρχὴν τῆς σώφρονος
the for frequent tyrannies the both under rule of-the temperate
διαίτης ἐξέκρουσαν, καὶ ταῖς ἁρπαγαῖς τῶν κρατούντων
life knocked-out and in-the plunderings of-the(-ones) ruling
οἱ πλείους ἐγγυμνασάμενοι οὐδέν τι πρὸς τοὺς ὁμοφύλους
the most having-been-trained nothing at-all toward the kinsmen

μέτριον ἐνενόουν καὶ διεπράττοντο. ἀλλ᾽ οἷα καὶ τὰ
moderate thought and did but such-as also the(-things)
παρὰ βασιλέως πρὸς τὰ οὑτωσὶ συμβάντα διῳκημένα.
by (the)-emperor for the(-things) thus having-happened administered
στέλλει τὸν Δοῦκαν Ἀνδρόνικον νεανίαν πρώτως ὑπηνήτην
sends — Doukas Andronikos (a)-youth first bearded
τῷ Πέρσῃ συμπλακησόμενον. ὁ δὲ μεθ᾽ ὧν ἡγεμόνευεν,
with-the Persian going-to-grapple he and with whom he-led
ὀψὲ ποιεῖται τὴν κατὰ τῶν Τούρκων ἔφοδον. ἀμέλει καὶ
late makes the against the Turks attack indeed also
νυκτὸς ἐπιθέμενος ποιμνίταις καὶ βουκολίοις ἀμηρᾶ τινὸς
by-night having-attacked flocks and herds of-emir some(-one)
Ἀρσανῆ μετ᾽ οὐ πολὺ ἐπανέζευξεν. ἀλλὰ καὶ βασιλεὺς
Arsanes after not long returned but also (the)-emperor
αὐτὸς ὡς ἀπὸ λωτοῦ καὶ Σειρήνων τῶν τρυφερῶν χωρίων
himself as from (the)-lotus and Sirens of-the luxurious places
τῆς Προποντίδος μόλις ἀποσπασθεὶς κατὰ Νίκαιαν καὶ
of-the Propontis barely torn-away to Nicaea and
Προῦσαν ἀφίκετο, οὐκ ἀντιμετρήσων ἢ ἀνταποδώσων τοῖς
Prousa arrived not going-to-measure-back or going-to-repay to-the
Πέρσαις ὃ ἐμέτρησαν καὶ ἀνταπέδωκαν ἡμῖν ἀνταπόδομα,
Persians what they-measured and repaid to-us (as)-repayment
ἀλλ᾽ ἵνα μὴ τὰς ἐκεῖσε πόλεις καὶ χώρας κακῶς διάθωνται
but that not the there cities and lands badly they-treat
τῶν τοῦ Βάθους ἐξαναστάντες μερῶν, ἐν οἷς οὐ μέτριοι
from-the — of-Bathys having-risen parts in which not few
τότε ηὐλίζοντο, πλὴν καὶ βασιλεὺς μῆνα τοῖς
then were-camping however also (the)-emperor (a)-month with-the(-people)
ἐκεῖσε ἕνα προσδιατρίψας ὀξέως ἐπάνεισιν εἰς Βυζάντιον.
there one having-spent-further swiftly returns to Byzantium
ἀνατείλαντος δ᾽ ἔαρος γίνονται πάλιν συνδρομαὶ τῶν
having-risen and spring happen again musterings of-the

στρατευμάτων καὶ συλλογαὶ μεθ᾽ ὅσης οὐκ εἰκῇ τις
armies and gatherings with as-much not at-random anyone
ἂν ὁρμῆς καὶ συντονωτάτης ἐπειγωλῆς, ἐπεὶ καὶ ταῖς
would of-rush and most-intense haste since also by-the
πολλάκις τοῦ ἔτους συνόδοις καὶ ταῖς συχναῖς συντάξεσιν
many-times of-the year assemblies and by-the frequent levies
ὁ στρατὸς ἀποκναίσαντες στῆναί τε τῶν ἐπαλλήλων
the army having-been-worn-out to-stop both the successive
συνελεύσεων ἤρων καὶ τῆς οἴκοι ἀναβολῆς ἐγλίχοντο.
assemblies longed and for-the at-home delay yearned
ὡς ὑπὲρ ἰσχὺν τοίνυν ἀγωνιούμενοι συνελέγησαν, καὶ ἢ
as beyond strength therefore going-to-contend were-collected and either
κρείττους τῶν ἀλλοφύλων ἐσόμενοι ἢ μετ᾽ εὐκλείας ὑπὲρ
stronger than-the foreigners going-to-be or with glory for
τῶν πατρίδων ἀποθανούμενοι. καὶ οὕτω μὲν αἱ δυνάμεις
the fatherlands going-to-die and thus indeed the forces
ὡς εἰς ἓν στρατόπεδον τὰ Κύψελλα συνηθροίζοντο.
as into one camp — Kypsella were-gathered

VI · THE EMPEROR'S GOUT AND THE RAID AT KOUPERION

Suffering from gout, Alexios burns his legs with red-hot irons, and the empress considers who will succeed him, since he has no son. Choniates laments the empire as a queen ravished by shameless lovers. Cumans and Vlachs raid Thrace on Saint George's day; at Kouperion the festival crowd is taken, since a monk farming the festival's taxes had hidden Theodore Branas' warning. The army from Bizye routs the Cumans, but greed for plunder lets them rally.

Ὁ δὲ βασιλεὺς αὐτογνωμονῶν ἀποθαρρεῖ ὅπερ ὁ λόγος
the and emperor self-willed ventures which the account
λέξων ἔρχεται. ἔπασχε τὰ ἄρθρα τοῦ σώματος κατὰ
going-to-tell comes he-suffered-in the joints of-the body in

κύκλον οἱονεὶ καὶ περίοδον, τοὺς δὲ πόδας καὶ μάλιστα
(a)-cycle as-it-were and (a)-period the and feet and especially
ὕλης ἐνσκηπτούσης μοχθηροτέρας καὶ ὀδύνας δυσυποίστους
matter descending more-noxious and pains hard-to-bear
ἀποτικτούσης, ἐξ ὧν ἀκινησίαι τε προσεπήγοντο τοῦ
begetting from which immobilities both were-brought-on the
πάθους φλεγμαίνοντος καὶ λάβροι πυρετοὶ πολλάκις
affliction inflaming and violent fevers often
ἐπήγιζον. κατά τινα οὖν ἡμέραν τὰς θύρας τοῦ κοιτῶνος
rushed-on on some then day the doors of-the bedchamber
ἐπιζυγώσας, ἄλλῳ μὲν οὐδενὶ τοῖς δὲ προκοίτοις
having-barred to-another indeed nobody to-the and chamberlains
ἐκφήνας τὸ ἀπόρρητον, σιδήρια πυρακτωθέντα τοῖς
having-revealed the secret irons made-red-hot on-the
σκέλεσιν ἐπιτίθησι, καὶ εἰς βάθος τὸν καυτῆρα ἐπαγαγὼν
legs he-puts and to depth the cautery having-applied
τὰ μὲν πρῶτα φιλοσοφῶν τὰς ὀδύνας πρὸς τὰς καύσεις
the indeed first philosophizing the pains against the burnings
τῶν ποδῶν ἀπεμάχετο, μεθ' ὕβρεών τε τοὺς ἰατροὺς
of-the feet he-fought-off with insults both the physicians
ἀπεπέμπετο, περὶ μόνα τὰ καθάρσια τούτους λέγων ἀεὶ
he-sent-away about only the purgatives these(-men) saying always
στρέφεσθαι καὶ μηδέν τι πλέον τῶν κενωσίμων εἰδέναι
to-turn and nothing at-all more than-the evacuants to-know
καὶ μετιέναι τοῖς κάμνουσιν ἴαμα. τὰ δ' ἐφεξῆς
and to-pursue for-the sick (as)-remedy the(-things) and next
φλεγμοναὶ τῶν καυτηριῶν καὶ περιωδυνίαι τῶν πρώην
inflammations of-the cauteries and violent-pains than-the former
δριμύτεραι. ἰατροὶ ἐπὶ τούτοις εἰσκεκλημένοι οὐχ ὁ μὲν
sharper physicians for these(-things) called-in not the one
ὁ δ' οὔ, ἀλλὰ πάντες κοινῶς. πρὸς δὲ τούτοις
the other not but all in-common in-addition-to and these(-things)

καὶ δέος ὑποθρᾶττον τὸ αἷμα, μή πως τὸ τῆς ὕλης
also fear troubling the blood lest somehow the of-the matter
μεθιστάμενον, τῆς περὶ τοὺς πόδας καθόδου ἀνακοπέν, εἴς
changing-place from-the about the feet descent checked on
τι καίριον ἐνσκήψῃ μέρος τοῦ σώματος, καὶ αὐτὸν μὲν
some vital should-descend part of-the body and him indeed
παρασύρῃ τοῦ ζῆν αἰφνηδόν, ἡ δ' ἀρχὴ μεταπεσεῖται
should-sweep-away from-the living suddenly the and rule will-fall-over
παρὰ δόξαν πρὸς ἕτερον. οἱ μὲν οὖν τῶν σωμάτων
beyond expectation to another the indeed then of-the bodies
θεραπευτῆρες φαρμακεύειν αὐτὸν ἐγνώκεσαν· οὕτω γὰρ ἂν
healers to-dose him had-resolved thus for —
τὸ τῆς ὕλης κινούμενόν τε ἅμα καὶ πλεονάζον γαληνιάσειε
the of-the matter moving both at-once and abounding would-calm
ταῖς κενώσεσι. καὶ ἦν τὰ φάρμακα ἡμαρ παρ' ἡμαρ
by-the evacuations and were the drugs day by day
σχεδὸν κεραννύμενα, καὶ τὸ ἀνύσιμον αὐτοῖς ἐφωμάρτει. ἡ
nearly being-mixed and the effective to-them followed the
δὲ βασιλὶς Εὐφροσύνη ἐφρόντιζε μὲν καὶ τῆς ὑγείας, ὡς
and empress Euphrosyne took-thought indeed also of-the health as
εἰκός, τοῦ εὐνέτου, ἐσκέπτετο δὲ πλέον μετὰ τῶν συνήθων,
likely of-the bedfellow considered and more with the intimates
καὶ οἷς τὰ κρυφιώδη τῶν βουλευμάτων προσανετίθει
and to-whom the secret(-things) of-the plans she-entrusted
καὶ τοῦ στήθους ἀνεμήρυε τὰ ἀπόρρητα, καὶ περὶ τοῦ
and of-the breast unwound the secrets also about the(-one)
παραληψομένου τὴν βασιλείαν, ὡς ἔσται τις αὐτῇ μὴ
going-to-take-over the empire how will-be someone for-her not
ἀνάρσιος μηδ' ἀπεχθὴς ἀλλ' ἀσπάσιος. βασιλεῖ μὲν γὰρ
hostile nor hateful but welcome to-(the)-emperor indeed for
οὐκ ἦν διάδοχος υἱὸς τῆς ἀρχῆς, δυάζουσαι δὲ θυγατέρες,
not was (a)-successor son of-the rule being-two and daughters

καὶ αὗται τῶν συνεύνων μικροῦ σπανιζόμεναι· ἡ μὲν γὰρ
and these of-the husbands by-little lacking the one for
προφερεστέρα καθ' ἡλικίαν Εἰρήνη θανάτῳ μαλακῷ δαμέντα
elder in age Irene by-death soft subdued
τὸν σύλλεκτρον Ἀνδρόνικον τὸν Κοντοστέφανον ἀπεβάλετο,
the bedfellow Andronikos the Kontostephanos had-lost
Ἄννα δὲ ἡ κατὰ γένεσιν ἐφεπομένη, τῷ δὲ κάλλει
Anna and the(-one) in birth following in-the and beauty
προτερεύουσα, Ἰσαακίῳ συνῴκει τῷ Κομνηνῷ, ὃς κατὰ
preceding with-Isaac lived the Komnenos who in
Μυσίαν ἐναπέθανε τοῖς δεσμοῖς, ὡς ἐν τοῖς ἔμπροσθεν
Mysia died in-the bonds as in the earlier
λόγοις εἰρήκειμεν. ἐπιλογαὶ τοίνυν καὶ ψηφοφορίαι τῶν
accounts we-had-said selections therefore and votings of-the(-men)
ἀρξόντων ἄλλαι τε παρ' ἄλλων ἐγίνοντο καὶ πᾶσαι πρὸς
going-to-rule others both by others happened and all to
τὰ τῶν προβαλόντων ἐτελοῦντο χρήσιμον. τοῦ δ'
the of-the(-ones) proposing were-accomplished advantage of-the and
ἀξίως βασιλεύσοντος Ῥωμαίων καὶ ὡς ἄριστα τὰ κοινὰ
worthily going-to-reign over-(the)-Romans and as best the common
διακυβερνήσοντος πράγματα οὐδεὶς οὐδένα λόγος εἰσήρχετο,
going-to-steer affairs no to-no-one thought entered
ὥστε ὑπὸ τῶν ἀβελτέρων καὶ νήπια ἔτι ἐν γάλαξιν ὄντα
so-that by the stupid even babies still in milk being
καὶ σπαργάνοις ἐνειλημένα πρὸς τὴν ἀρχὴν ἐπεκρίνετο.
and in-swaddling-clothes wrapped for the rule were-selected
αὐτῶν μέντοι τῶν ἐν γένει καὶ πλούτῳ περιβλεπομένων
of-them however of-the(-ones) in race and wealth admired
ὁ μὲν πρωτοστράτωρ Μανουὴλ ὁ Καμύτζης τῷ πρὸς
the indeed protostrator Manuel the Kamytzes on-the on
μητρὸς ἐπεκάθητο θείῳ τῷ σεβαστοκράτορι Ἰωάννῃ,
(his)-mother's(-side) sat-upon uncle the sebastokrator John

οὗτος δ' αὖθις κατ' αὐτοῦ ἀντωφθάλμει. οἱ δὲ τοῦ βασιλέως
this(-one) and in-turn against him eyed-back the and of-the emperor
κασίγνητοι τρεῖς ὄντες καὶ παρ' Ἀνδρονίκου τυφλωθέντες,
brothers three being and by Andronikos blinded
ἀλλὰ δὴ καὶ ὁ ἐπὶ τῇ ἀδελφῇ αὐτῶν γαμβρὸς ὁ
but indeed also the on the sister their brother-in-law —
Καντακουζηνὸς Ἰωάννης ἐξόμματος καὶ αὐτὸς δεικνύμενος,
Kantakouzenos John eyeless also himself shown
παισὶ τοῖς ἑαυτῶν τὴν ἀρχὴν ἠνδρολόγουν. ἦσαν δ' οἳ
for-sons the(-ones) their-own the rule were-canvassing there-were and who
χθές τε καὶ πρώην διαμασσώμενοι τὰ δρυόκαρπα καὶ τὰ
yesterday both and the-day-before chewing the acorns and the
Ποντικὰ ὕεια κρέα ἐπὶ στόματος ἔτι φέροντες ἐπείρων καὶ
Pontic swine's meats on (the)-mouth still carrying made-attempts and
ἤρων τῆς βασιλείας μάλα λαμπρῶς, καὶ ὅλοις ἐς αὐτὴν
loved the empire very openly and with-whole at it
περιέργοις ἐνητένιζον ὄμμασι, προαγωγοῖς καὶ προμνήστορσι
curious gazed eyes procurers and matchmakers
χρώμενοι ὁπόσοι τῶν ἀγοραίων ὤνιοι χρημάτων καὶ
using as-many-as of-the market-folk purchasable for-money and
κοιλιόδουλοι, ὡς μακρῷ κάκιον τοῦ καθ' ἕνα τὸ κοινῇ
belly-slaves as by-far worse than-the by one the in-common
γινόμενον ψήφισμα. ὦ περίπυστον πρᾶγμα Ῥωμαίων ἀρχή,
happening decree O famous thing of-(the)-Romans rule
καὶ πᾶσιν ἔθνεσι ζηλωτὸν καὶ προσκυνητὸν ἀξίωμα, οἵους
and for-all nations enviable and worshipful dignity what-sort
ὑπήνεγκας βιαστάς! οἷοί σοι ἐπανέστησαν ὑβρισταί!
you-endured ravishers what-sort against-you rose-up outragers
οἷοί σοι ἐπεμάνησαν ἐρασταί! οἵους ἐνηγκαλίσω!
what-sort for-you raged lovers what-sort you-embraced
οἷοις ὑπέθηκας ἑαυτὴν καὶ φιλοτήτων μετέδωκας
to-what-sort you-subjected yourself and of-love you-gave-a-share

ἐταινιώκεις τε τῷ στεφάνῳ καὶ περιέβαλες τὸ διάδημα
you-had-bound both with-the crown and put-around the diadem
καὶ τὸ φοινικόχρουν περιέδησας πέδιλον! θυμαλγέστερά εἰσιν
and the purple-colored bound-round sandal more-heartrending are
ὄντως τὰ σὰ ὧν πέπονθε Πηνελόπη παραλληλιζόμενα,
truly the yours than-what suffered Penelope compared
καὶ κατ᾽ οὐδὲν ἀπέοικας βασιλείας γυναικὸς πανευδαίμονος,
and in nothing you-are-unlike (a)-royal woman all-happy
σεμνῆς τὸ κάλλος, εὐφυοῦς τὸ μέγεθος, εὐπρεποῦς τὴν
solemn in-the beauty well-grown in-the stature comely in-the
ὄψιν, ἑαλωκυίας μέντοι χερσὶν ἐραστῶν ἀναιδῶν μηδὲ
face having-been-caught however by-(the)-hands of-lovers shameless not-even
τιμωμένων ὀβολοῦ παρ᾽ ἐχέφροσιν, οὔτε μὴν ἐχόντων τὸ
valued (at-an)-obol by (the)-sensible nor indeed being-able the
μεγαλοπρεπὲς αὐτῆς συνιδεῖν μηδ᾽ εὐλαβουμένων τὸ ὕψος
magnificence her to-perceive nor revering the height
μηδ᾽ ὑποστελλομένων τὸ εὐγενές, ἐνίοτε δὲ καὶ πρὸς ὕβριν
nor shrinking-from the noble-birth sometimes and also to outrage
περιελκόντων καὶ εἰς κοίτην ἀπαγόντων ἀθέμιτον. αἳ αἳ τῆς
dragging-around and to (a)-bed leading-off unlawful alas alas of-the
αἰσχρουργίας! οἷα πέπονθας, οἷα τεθέασαι! ὄψις πόρνης
shamelessness what you-have-suffered what you-have-seen (the)-face of-(a)-harlot
ἐγένετό σοι χρῆμα περίπυστον καὶ πρᾶγμα περίδοξον.
became for-you (a)-thing notorious and (a)-matter famous
καὶ φροῦδον μέν σοι τὸ ἀπέριττον ἐκεῖνο κάλλος καὶ
and vanished indeed for-you the simple that beauty and
τὸ τοῦ προσώπου αἰδῆμον καὶ ἡ σώφρων καὶ προτέρα
the of-the face modest and the temperate and former
ἐγκρατὴς δίαιτα, περίεργον δὲ καὶ μετεγγραφὲν ἐντρίψεσι
self-controlled life elaborate but and rewritten with-rubbings
καὶ φαρμάκοις τὸ σὸν πρόσωπον, καὶ διεσκεύασαι
and drugs the your face and you-have-been-dressed-up

πρὸς τρυφὴν καὶ πρὸς ἦθος ἀκόλαστον μετερρύθμισαι·
for luxury and to character licentious you-have-been-reshaped
οἱ γάρ σε βιασάμενοι τὴν πρώην ἀπεριέργως
the(-men) for you having-ravished the(-one) formerly unaffectedly
καλὴν καὶ τὸ εἶδος ἀγαστὴν καὶ ἐπέραστον πρὸς τὸ
beautiful and in-the form admirable and lovely to the
ἑταιρικὸν μετεπλάσαντο σχῆμα. πότε ἀνανεύσεις τῆς
courtesan's remolded shape when will-you-raise-your-head from-the
ἀμόρφου ταύτης εὐμορφίας καὶ τοῦ δυσειδοῦς εἴδους
shapeless this shapeliness and from-the ugly form
καὶ τοῦ ἐπιποιήτου βλέμματος καὶ βαδίσματος; ἢ τίς
and from-the affected glance and gait or who
ὁ ἐξάξων σε τῶν πρὸς βίαν τυραννικῶν τούτων
the(-one) going-to-lead-out you from-the by force tyrannical these
περιπλοκῶν καὶ πρὸς τὴν πρώην ἐπανάξων ἀκαπήλευτον
embraces and to the former going-to-lead-back unhuckstered
καὶ ἐλευθέραν διαγωγήν; ὡς νῦν γε καὶ τὸν οἶκτον
and free conduct as now at-least also the pity
εἰς γέλων μετενεγκεῖν κινδυνεύομεν, οἷς οὐ δεῖ
into laughter to-change we-are-in-danger with-whom not it-is-needful
συμφερομένην ὁρῶντές σε, καὶ τὰ τῆς ἀσχημοσύνης
consorting seeing you and the(-things) of-the indecency
προβλέποντες δεδίαμεν μὴ εἰς τέλος ἀφαντωθείης καὶ
foreseeing we-fear lest to (the)-end you-be-made-to-vanish and
καταρραγείης εἰς πτῶμα τὸ δυσανόρθωτον. ἀλλ' εἶεν.
be-dashed into (a)-fall the hard-to-set-right but so-be-it
Ὁ δὲ δὴ αὐτοκράτωρ μήπω καθαρῶς ἀνασφήλας τῆς
the and indeed autocrat not-yet clearly having-recovered from-the
νόσου μηδ' ἐπὶ τῶν ποδῶν στῆναι δυνάμενος ἔξεισι καὶ
disease nor on the feet to-stand being-able goes-out and
ἄπεισι πρὸς τὰ Κύψελλα, ἐξαρτύσας ὅσα πρὸς πόλεμον
departs to — Kypsella having-equipped as-many-as for war

ἄραρεν. αὐτοῦ δ' ὄντος ἐν καχεξίᾳ, Σκύθαι μετὰ μοίρας
is-fitting he and being in bad-condition Scythians with (a)-portion
Βλάχων τὸν Ἴστρον διαβάντες τοῖς Θρᾳκικοῖς πολίσμασιν,
of-Vlachs the Ister having-crossed the Thracian towns
ὁπόσα περὶ Μεσήνην καὶ Τζουρουλόν, καὶ τὰ ἔτι
as-many-as (are)-about Mesene and Tzouroulos and the(-ones) still
τούτων ἐχόμενα ἐξ ἐφόδου ἔκειρον κατ' αὐτὴν τὴν ἐτήσιον
to-these adjoining by attack ravaged on itself the yearly
μνήμην Γεωργίου τοῦ χριστομάρτυρος. ἦν μὲν οὖν, ὡς
memory of-George the martyr-of-Christ was indeed then as
ἤδετο, τοῖς βαρβάροις σκέμμα καὶ σύνθημα πρὸς τῶν
it-was-sung to-the barbarians (a)-plan and (a)-signal by the
ἡγεμόνων τῆς ὁδοῦ δοθὲν ἐς τὸ Κουπέριον ἀφικέσθαι (τὸ δέ
leaders of-the road given to — Kouperion to-come this and
ἐστιν ἐκ γειτόνων τῆς Τζουρουλοῦ διακείμενον, ἔνθα ἤγετο
is from neighbors — of-Tzouroulos lying where was-held
τηνικαῦτα τῷ μάρτυρι ἑορτὴ καὶ πανήγυρις συγκεκρότητο),
then for-the martyr (a)-feast and (a)-festival had-been-assembled
ὁμίχλης δὲ περισπασθείσης ἕωθεν χαμαιφερῶς τὸ μὲν
(a)-mist and having-been-drawn-round at-dawn low-lying the indeed
πολὺ τῶν βαρβάρων τῆς προκειμένης ἀπορραγὲν εἰς
most of-the barbarians from-the(-road) set-before broken-off to
χωρία μετέρρευσεν ἕτερα, μέχρι καὶ τοῦ παράλου Ῥαιδεστοῦ
places flowed-over other as-far-as also the coastal Rhaidestos
κατιόν, μοῖρα δέ τις αὐτῶν περὶ τὸ Κουπέριον ἐνσκήψασα
coming-down portion and some of-them about — Kouperion having-fallen
εἰς μὲν τὸν ναὸν καὶ τὸ περίαυλον οὐκ εἰσήλθοσαν· τὸ
into indeed the church and the courtyard not entered the
γὰρ συνελθὸν πλῆθος ἐπὶ τῷ τὰ ὅσια τελέσαι τῷ
for having-come-together multitude for the the holy(-rites) to-perform for-the
μάρτυρι, δρᾶσαί τι μᾶλλον φθάσαν ἢ παθεῖν
martyr to-do something rather having-anticipated than to-suffer

ἀναμεῖναν νεκρικὸς δέον, ἁμάξας ἀγηοχὸς καὶ τὸν νεὼν
having-waited deathly as-needful wagons having-brought and the temple
περιφραγμῶσαν κατὰ τὴν πρώτην εὐθὺς τῶν βαρβάρων
having-fenced-round at the first at-once of-the barbarians
ἐπέλευσιν τὰ ἐκεῖσε πεποίηκεν ἄβατα ἄλλως τε καὶ τοῖς
attack the(-places) there made impassable besides — and for-the
Σκύθαις ἀπείρητα τειχομαχεῖν τὰ ἐν κώμαις ἐκτρεπομένοις
Scythians untried to-assault-walls the in villages turning-aside
ἐς δεῦρο καὶ πόλεσιν ὀχυρώματα, ὡς οἷα πρὸς τὴν
to here and in-cities fortifications as such-as at the
πρώτην ὁρμὴν κατὰ λαίλαπος κίνησιν ἀναρριπτόντων
first rush by whirlwind's motion tossing-up
τὰ ἐν ποσὶ καὶ πρὸς ἤθη τὰ οἰκεῖα μεταχωρούντων.
the(-things) in (their)-path and to haunts the own withdrawing
τοὺς δέ γε τοῦ νεὼ ἀφεμένους καὶ πρὸς τὸ πόλισμα
the(-ones) and at-least the temple having-left and to the town
τὸν Τζουρουλὸν ὡς ἔχον σῶσαι μεταχωρήσαντας πανδημεὶ
— Tzouroulos as being-able to-save having-withdrawn in-a-body
ᾑχμαλώτευσαν, μὴ λαβέσθαι φθάσαντας τοῦ ἐρύματος.
they-captured not to-seize having-been-in-time the stronghold
ἦσαν δ' ἂν ἅπαντες τοῦ κακοῦ τῆς αἰχμαλωσίας
would-have-been and — all of-the evil of-the captivity
ἀπείρατοι, εἰ μὴ ὁ κάκιστ' ἀπολούμενος ῥακενδύτης ὃς
untried if not the worst going-to-perish rag-clad who
ἐκ τῆς Ἀντιγόνου μονῆς ἐκεῖσε ἀφίκετο τελωνήσων
from the of-Antigonos monastery thither had-come going-to-farm-the-taxes-of
τὴν πανήγυριν, παρ' οὐδὲν ἔθετο ὅσα ἦν ἐπιστείλας
the festival at nothing set as-much-as was having-written
ὁ Βρανᾶς Θεόδωρος, ὃς τῶν ἐκεῖθι χωρῶν ἡγεμόνευεν,
— Branas Theodore who of-the there lands was-commander
ἀπαγορεύσαντα μὲν τὴν τῶν πολλῶν ἐς τὸ Κουπέριον
forbidding indeed the of-the many to — Kouperion

συνδρομήν, τὴν δ' ἐπιδρομὴν τῶν Σκυθῶν ἀπαγγέλλοντα
concourse the and inroad of-the Scythians announcing
καὶ προτιθέντα αἵρεσιν, ἢ κακῶν ἀπαθεῖς εἶναι τοὺς
and setting-forth (a)-choice either of-evils untouched to-be the(-ones)
συνελθόντας τῶν ἐντελλομένων ἀκούσαντας ἢ τεθνάναι
having-come-together the orders having-heard or to-be-dead
παρακούσαντας. νῦν δὲ ὁ τοῖς ἐν κόσμῳ ἐπίπαν
having-disregarded now and the(-one) to-the(-things) in (the)-world wholly
ἀποταξάμενος καὶ λαμπρῶς τῶν κάτω ἀπορραγείς,
having-renounced and brilliantly from-the(-things) below having-broken-off
τὸ δὲ κατὰ Χριστὸν τριβώνιον ἐθελοντὴς ὑποδύς, δείσας
the and by Christ cloak voluntarily having-put-on having-feared
μὴ χάλκεος στατὴρ αὐτὸν διαδράσειε τοῦ λεὼ διασπαρέντος,
lest (a)-bronze stater him might-escape the people having-been-scattered
τὴν μὲν δέλτον τῷ κόλπῳ ἐνέβυσε καὶ ὡς ἐν σκότει
the indeed tablet in-the bosom stuffed and as in darkness
τῇ μελανειμονίᾳ παρέπεμψε, τοῖς δ' ἀγειρομένοις
in-the black-clothing sent-off to-the(-ones) and gathering
προὔλεγεν, ὡς εἰ καὶ προφήτου ἦν περισσότερος ὁ τῆς
foretold as if also than-(a)-prophet he-were greater the of-the
ἐννοίας, ἔνθα τὸ κέρδος, ἐμπορικὸς καὶ δριμύτατος, ὡς
thought where the gain (a)-trader and sharpest that
οὐδέν τι πείσονται ἀηδὲς καὶ ὁποῖον αἱ φῆμαι τὰ πολλὰ
nothing at-all they-will-suffer unpleasant and such-as the rumors the most(-part)
τὴν ἀλήθειαν τυραννοῦσαι μὴ διακριδὸν καταγγέλλουσι. καὶ
the truth tyrannizing not distinctly announce and
οὕτω μὲν οἱ Σκύθαι λείαν ἐλάσαντες πολλὴν ἀνεζεύγνυον,
thus indeed the Scythians booty having-driven much returned
ὁ δὲ τὴν Βυζίην φυλάσσων Ῥωμαϊκὸς στρατός, μαθὼν
the and — Bizye guarding Roman army having-learned
ἐπανιέναι τοὺς Σκύθας, τὴν ἐπ' αὐτοὺς ἐτράπετο.
to-be-returning the Scythians the(-road) against them turned

ἐπεὶ δὲ καὶ συνέβαλον ἀμφότερα τὰ στρατεύματα, κρατεῖ
when and also engaged both the armies prevails
τὸ ἡμέτερον, φόνος τε καὶ τροπὴ γίνεται τῶν Σκυθῶν,
the ours slaughter both and rout happens of-the Scythians
καὶ τὸ τῆς αἰχμαλωσίας πλεῖστον ἀνίεται, καὶ τοῦτ' ἐπὶ
and the of-the captivity most is-released and this for
βραχύ· ἡ γὰρ σύμφυτος καὶ μανιώδης κἀπὶ τοῖς
(a)-short(-time) the for inborn and frenzied and-in the(-things)
μηδαμῶς καθήκουσιν ἀμετάθετος Ῥωμαίων λίχνευσις
in-no-way fitting unchangeable of-(the)-Romans greed
τὴν νίκην διέφθειρεν. ὅλοι γὰρ τοῦ ἀφαρπάζειν καὶ
the victory ruined whole for for-the snatching and
μεταφέρειν γινόμενοι ἅπερ ἦγον οἱ Σκύθαι τὰς Ῥωμαϊκὰς
carrying-off becoming what led the Scythians the Roman
χώρας πορθήσαντες, τὸ ἀπιὸν καὶ δραπετεῦον πολέμιον
lands having-sacked the departing and running-away enemy
ἐπέστρεψε καθ' ἑαυτό, καὶ παλίωξιν ἐντεῦθεν εἰργάσαντο.
turned against itself and pursuit-back thence wrought
